Marjorie

from J. Nicklin.

Feb. 1936

Y. Nicklin
October 1885.

# PINDARI CARMINA

EDIDIT

TYCHO MOMMSEN

BEROLINI
APUD WEIDMANNOS
MDCCCLXVI.

PA
4274
A2
1866

LIBRARY
JAN 15 1969
UNIVERSITY OF TORONTO

# NOTITIA CODICUM.

I. Vetusti:

A **Primani:**

Ambrosianus primus, Ol. I—XII complectens, cum apographo suo Vratislaviensi primo in Ol. I et parte Ol. II.

B **Secundani:**

Vaticanus secundus, omnia fere carmina complectens, cum apographis:

Augustano tertio in Nemeis;

Romana editione passim in Pythiis, Nemeis, Isthmiis;

X b manu secunda Parisiensis quarti, aliquoties.

**Tertiani:**

C Parisiensis septimus, Olympia et Pyth. I–V complectens;

M Perusinus in Ol. I–XII et Pyth. I-IV;

N Ambrosianus septimus in Olympiis;

O Leidensis tertius in Ol. I–XIII.

**Quartani:**

1. familiae Mediceae:

D Mediceus secundus, omnia carmina complectens, cum apographis quattuor;

2. familiae Vaticano-Gottingensis:

E Mediceus quintus, F Mediceus tertius, G Gottingensis, H Vaticanus quartus — in Olympiis et Pythiis;

I Guelferbytanus in Pythiis et a manu secunda in Olympiis.

[K Vaticanus septimus in Olympiis et Pyth. I–IV;]

[L Vaticanus quintus decimus in Ol. I–X;]

3. familiae Palatino-Caesareae:

P Palatinus tertius, Q Mediceus quartus, R Urbinas primus — in Olympiis et Pythiis;

S Ambrosianus sextus in Olympiis et Pyth. I–V;

T Vaticanus tertius, U Caesareus primus — in Olympiis et Pythiis et in Nem. I. II.

4. familiae Parisino-Venetae:

V Parisiensis primus, Olympia Pythiaque et Nem. I–IV partemque Nem. VI complectens, cum apographis:

W Veneto sexto in Olympiis et Pythiis;

X Parisiensi quarto;

Y Veneto quarto;

Z Caesareo quarto; et cum septem aliis apographis.

II. Thomani, sic appellati quod textum quidem tantum non veterem sed ea sola scholia continent quae ad Thomam Magistrum qui dicitur auctorem referuntur:

1. *Γ* Parisiensis quintus
*Δ* Neapolitanus primus
*Θ* Ambrosianus secundus
*Λ* Mediceus octavus
} in Olympiis et Pyth. I. II;

2. *Π* Caesareus tertius
*Ξ* Vaticanus primus
*Σ* Augustanus secundus
*Υ Φ Ψ* tres alii
3. *Ω* Moscuensis primus
Cizensis
Aldina editio
} in Olympiis;

III. Interpolati sive diorthotici recentiores:

diorth.[1] duo et quadraginta libri, priorem diorthosin et commentarium perpetuum, qui fertur esse Moschopuli, continentes; inter quos eminent

1. Leidensis secundus, Olympia et Pyth. I–VI, 4 complectens;
Ambrosianus nonus
tres alii
} Olympia et Pythia et Nem. I–III complectentes; quibus in Pythiis et Nem. I–III fere accedit Aldina editio, quam aliquando etiam Romana exprimit;

2. Caesareus secundus, Ravennas, Leidensis primus, Lipsiensis, Guelferbytanus, Augustanus primus, Bodleianus quartus, Vratislaviensis secundus, Ambrosianus secundus a manu secunda, alii } in Olympiis;

diorth.[2] prope libri duodetriginta, alteram diorthosin, quae Demetrii Triclinii est, continentes; inter quos unus eminet

1. Abbatiae Florentinae codex, archetypon omnium qui exstant Triclinianorum et fortasse ipsius Demetrii Triclinii autographon, olim integra carmina complexus, nunc mutilus nec continens nisi Ol. VI. XIV; Pyth. I. II. VI–XII. Nem. I–X; Isthm. IV. V; et partem septem aliorum carminum; cum
apographis septem post mutilatum archetypon factis, inter quae sunt Parisiensis secundus et Ambrosianus quintus; et cum

retr. duobus aliis apographis, et ipsis post mutilatum archetypon factis sed ad modum Triclinii, ut videtur, suppletis, retractatam Demetrii diorthosin exhibentibus:
Ambrosiano secundo;
Estensi primo; quibus plerumque accedit (et secuta eam aliquando Romana)
Aldina editio;
} in Nem. V–XI et in Isthmiis;

2. [tres alii Tricliniani, Olympia et Pyth. I–IV continentes, inter quos est Bodleianus tertius;]

3. duodecim alii libri, Olympia sola continentes cum compilatis Thomae, Moschopuli, Triclinii scholiis, textu ex archetypo Florentino nondum mutilato derivato; inter quos eminent
Moscuensis secundus in Olympiis;
Caesareus quintus in Olympiis;
Vratislaviensis primus in Ol. III–XIV et parte Ol. II;
manus secunda in multis libris;
Romana editio in Olympiis; ex qua et ex Aldina editione videtur natus esse:

4. *ώ* Ambrosianus tertius omnium recentissimus, contaminatissimus, pessimus; in Olympiis.

# ΟΛΥΜΠΙΟΝΙΚΑΙ.

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Α'.

## ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι

### ΚΕΛΗΤΙ.

### Strophae.

⏑ –́ –́ ⏑ ⏑ – ⏑ – ×́ ⏑ –́ ⏑ ⏑ – ⏓
⏓ ⏑⏑́ –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ – ⏑ – ⏑ ⏑̄
×́ ⏑ –́ ⏑ ⏑ – ⏓
–́ ⏑ – ⏑ – ⏑ ⏑̄
–́ ⏑ – ⏑ ⏑⏑ ⏑ – ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – –́ ⏑ – ⏑ ⏑̄
–́ ⏑ – ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑̄
⏑ ⏑⏑́ ⏑ ⏑⏑ ⏑ – ⏑ – ⏑ – ⏑ ⏑̄
⏑ ⏑⏑́ –́ ⏑ – ⏑⏑́ ⏑ ⏑̄
⏑ –́ –́ ⏑ – ⏑ – ⏑⏑́ ⏑ ⏑̄
⏓ –́ ⏑⏑́ ⏑ – ⏑ – ⏑ ⏑̄

### Epodi.

⏑ –́ ⏑⏑́ ⏑ – ⏑ – –́ ⏑⏑ – ⏑ – –́ ⏑ – ⏑ ⏑̄
⏑ –́ –́ ⏑ ⏑ – ×́ ⏑ ⏑⏑́ ⏑ – ⏑ ⏑̄
–́ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑̄
⏑ –́ –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏓
⏑ ⏑ –́ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ – ⏑ ⏑̄
– –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ – ⏑ – | ⏑⏑́ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑̄
⏑ –́ –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏑ – ⏓

---

desunt BG

Inscr. om. A — ***Συρακοσίῳ*** KV (diorth.[1]): ***Συρ[ρ]ακουσίῳ***

Στρ. α'.

Ἄριστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ
ἅτε διαπρέπει νυκτὶ μεγάνορος ἔξοχα πλούτου·
εἰ δ' ἄεθλα γαρύεν
ἔλδεαι, φίλον ἦτορ,
μηκέτ' ἀελίου σκόπει
ἄλλο θαλπνότερον ἐν ἁμέρᾳ φαεννὸν ἄστρον ἐρήμας δι' αἰθέρος·
μηδ' Ὀλυμπίας ἀγῶνα φέρτερον αὐδάσομεν·
ὅθεν ὁ πολύφατος ὕμνος ἀμφιβάλλεται
σοφῶν μητίεσσι, κελαδεῖν
Κρόνου παῖδ', ἐς ἀφνεὰν ἱκομένους
μάκαιραν Ἱέρωνος ἑστίαν,

Ἀντ. α'.

θεμιστεῖον ὃς ἀμφέπει σκᾶπτον ἐν πολυμήλῳ
Σικελίᾳ, δρέπων μὲν κορυφὰς ἀρετᾶν ἄπο πασᾶν·
ἀγλαΐζεται δὲ καὶ
μουσικᾶς ἐν ἀώτῳ,
οἷα παίζομεν φίλαν
ἄνδρες ἀμφὶ θαμὰ τράπεζαν. ἀλλὰ Δωρίαν ἀπὸ φόρμιγγα πασσάλου
λάμβαν', εἴ τί τοι Πίσας τε καὶ Φερενίκου χάρις
νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν,
ὅτε παρ' Ἀλφεῷ σύτο δέμας
ἀκέντητον ἐν δρόμοισι παρέχων,
κράτει δὲ προσέμιξε δεσπόταν,

Ἐπ. α'.

Συρακόσιον ἱπποχάρμαν βασιλῆα. λάμπει δέ οἱ κλέος
ἐν εὐάνορι Λυδοῦ Πέλοπος ἀποικίᾳ·
τοῦ μεγασθενὴς ἐράσσατο γαιάοχος

---

(v. 1—13 interierunt in B) deest G

**5** ἀλίου et ἁλίου Σ diorth. **6** ἀμέρᾳ EFN — φαεινὸν DPQΓ diorth.: φαενὸν et φαεννὸν **10** ἰκόμενοι CL? diorth.[1]: ἰκομένοις L? diorth.[2] **12** θεμίστειον Herodianus — σκᾶπτρον MVΓ diorth.[1] — πολυμήλῳ Γ: πολυμάλῳ **15** μουσικῆς DPQVΓ diorth. **23** Συρακόσιον ἱπποχάρμαν diorth.: Συρακοσίων (Συρακουσίων) ἱππιοχαρμᾶν (ἱππιοχάρμαν): utrumque Schol. **24** ἐν] παρ' diorth.: om. ἐν CDPQVΓ — εὐάνορι et εὐάνορος ACLNOQVΣ (etiam Schol.) — ἐποικίᾳ (v. l. in Schol.) G. Hermann

[illegible]

(1) ὕδωρ useful (2) χρυσός valuable (3) ὀλ. noble

ask no farther for

license not used in Pind.: 'we shall'

much spoken of. excellent, noble

rich in flocks or fruit.

'take delight in' Tott.

inf. Aiolic, Pyth. 4. 102: only to Dorian princes

'acquainted his master with'

'his master, him of Syracuse'

…ings.' … with washed therein. emph. x common legend

…' in Eng. poet.

emph. x legend.

…ib.

gold on reins & bridle

Ποσειδᾶν, ἐπεί νιν καθαροῦ λέβητος ἔξελε Κλωθὼ
ἐλέφαντι φαίδιμον ὦμον κεκαδμένον.
ἦ θαυματὰ πολλά, καί πού τι καὶ βροτῶν | φάτις ὑπὲρ τὸν ἀλαθῆ λόγον
δεδαιδαλμένοι ψεύδεσι ποικίλοις ἐξαπατῶντι μῦθοι.

Στρ. β'.

Χάρις δ', ἅπερ ἅπαντα τεύχει τὰ μείλιχα θνατοῖς,
ἐπιφέροισα τιμὰν καὶ ἄπιστον ἐμήσατο πιστὸν
ἔμμεναι τὸ πολλάκις·
ἁμέραι δ' ἐπίλοιποι
μάρτυρες σοφώτατοι.
ἔστι δ' ἀνδρὶ φάμεν ἐοικὸς ἀμφὶ δαιμόνων καλά· μείων γὰρ αἰτία.
υἱὲ Ταντάλου, σὲ δ', ἀντία προτέρων, φθέγξομαι,
ὁπότ' ἐκάλεσε πατὴρ τὸν εὐνομώτατον
ἐς ἔρανον φίλαν τε Σίπυλον,
ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων,
τότ' Ἀγλαοτρίαιναν ἁρπάσαι

Ἀντ. β'.

δαμέντα φρένας ἱμέρῳ χρυσέαισιν ἀν' ἵπποις
ὕπατον εὐρυτίμου ποτὶ δῶμα Διὸς μεταβᾶσαι,
ἔνθα δευτέρῳ χρόνῳ
ἦλθε καὶ Γανυμήδης
Ζηνὶ τωὔτ' ἐπὶ χρέος.
ὡς δ' ἄφαντος ἔπελες, οὐδὲ ματρὶ πολλὰ μαιόμενοι φῶτες ἄγαγον·
ἔννεπε κρυφᾷ τις αὐτίκα φθονερῶν γειτόνων,

---

(v. 46 et 47 interierunt in B) deest G

**26** *Ποσειδῶν* CFNVΣ diorth. **26** *ἔξελε* diorth.[1]: *ἔξελεν* diorth.[2]: *ἐξεῖλε* **27** *γρ. κεκασμένον* marg. A **28** *θαυματὰ πολλὰ* B cum Eustathio et Joanne Grammatico: *θαύματα πολλὰ* marg. Q (etiam in Schol.): *θαῦμα τὰ πολλὰ* (*ταπολλὰ*) ADEPVΔ diorth.: eadem tria coniuncta CΓ — om. *τι* B — *φάτις*] *φρένας* Σ diorth.: *φρένα* Rom.: *φάτιν* [Z supra] Schol.?: *φασίν* v. l. marg. A? — *ἀλαθῆ* FN: *ἀληθῆ* (etiam Greg. Corinth.) **31** *ἐπιφέροισα* DFPQVΓ diorth.[2]: *ἐπιφέρουσα* **34** *ἀμέραι* CNP?Q — *μάρτυροι* D: utrumque PQ **37** *ὁπότε κάλεσε* F diorth.[1] — *τὸν εὐν. ἔρ.* (om. *ἐς*) Γ: *ἐς εὐν. ἔραννον* (om. *τὸν*) diorth.[2] **40** *Ἀγλαοτριαίναν* A **41** *χρυσέαις* C — *ἀν'*] *κἀν'* CDP: utrumque FNQ **46** *ἤγαγον* diorth.[1] **47** *κρυφᾷ* A: *κρυφᾶ*

ὕδατος ὅτι τε πυρὶ ζέοισαν εἰς ἀκμὰν
μαχαίρᾳ τάμον κατὰ μέλη,
τραπέζαισί τ' ἀμφὶ δεύτατα κρεῶν
σέθεν διεδάσαντο καὶ φάγον.

Ἐπ. β΄.

ἐμοὶ δ' ἄπορα γαστρίμαργον μακάρων τιν' εἰπεῖν· ἀφί-
σταμαι.
ἀκέρδεια λέλογχεν θαμινὰ κακαγόρος.
εἰ δὲ δή τιν' ἄνδρα θνατὸν Ὀλύμπου σκοποὶ
ἐτίμασαν, ἦν Τάνταλος οὗτος· ἀλλὰ γὰρ καταπέψαι
μέγαν ὄλβον οὐκ ἐδυνάσθη, κόρῳ δ' ἕλεν
ἄταν ὑπέροπλον, ἅν οἱ πατὴρ ὕπερ κρέμασε καρτερὸν
αὐτῷ λίθον,
τὸν αἰεὶ μενοινῶν κεφαλᾶς βαλεῖν εὐφροσύνας ἀλᾶται.

Στρ. γ΄.

ἔχει δ' ἀπάλαμον βίον τοῦτον ἐμπεδόμοχθον,
μετὰ τριῶν τέταρτον πόνον, ἀθανάτων ὅτι κλέψαις
ἁλίκεσσι συμπόταις
νέκταρ ἀμβροσίαν τε
δῶκεν, οἷσιν ἄφθιτον
θέν νιν. εἰ δὲ θεὸν ἀνήρ τις ἔλπεται λελαθέμεν ἔρδων,
ἁμαρτάνει.
τοὔνεκα προῆκαν υἱὸν ἀθάνατοί οἱ πάλιν
μετὰ τὸ ταχύποτμον αὖτις ἀνέρων ἔθνος.
πρὸς εὐάνθεμον δ' ὅτε φυὰν
λάχναι νιν μέλαν γένειον ἔρεφον,
ἑτοῖμον ἀνεφρόντισεν γάμον

---

(v. 48—66 interierunt in B) deest G

**48** εἰς e Schol. Mommsen: ἀμφ' diorth.: ἐπ' **49** κάτα G. Hermann **50** τ'] δ' apud Athenaeum — ἀμφιδεύματα (V ante corr.): ἀμφὶ δεύματα W **52** ἄπορα diorth.: ἄπορον **53** κακαγόρος A (CE?): κακάγορος P: κακηγόρος Q: κακαγόρους C?DV: κακηγόρους ΜΣ diorth.[1]: κακαγόρως (κακηγόρως) diorth.[2] **57** ἄν οἱ G. Hermann: τήν οἱ Γ: τάν οἱ — ὑπὲρ κρέμασε Mommsen: ὑπερκρέμασε **58** αἰεὶ diorth.: ἀεὶ **59** ἀπάλαμον diorth.: ἀπάλαμνον **60** ἀθανάτους (A?) EUΓ: utrumque FLMN — -ψαις (AQ supra) DE: -ψας **64** θέν νιν Mommsen: θέσσαν (θέσαν) diorth.: θῆσαν Ahrens: θέσσαν αὐτόν Γ: ἔθεσαν αὐτόν PQώ Ald.: θέσαν αὐτόν — λελαθέμεν Mommsen: τι λαθέμεν Rom.: τι λασέμεν diorth.: λαθέμεν (sine τι) **65** τ. πρ. υἱ. ἀ. οἱ π. diorth.[2]: τ. πρ. υἱ. ἀ. π. (om. οἱ) diorth.[1]: τ. οἱ πρ. υἱ. ἀ. π. **66** αὖτις ADFLMN: αὖθις **69** ἕτοιμον A

cf. ἀκμὴ = strength q.v.

cf. circa aras. from .. to talk.

cf. Μούσα.

excessive. P. 6. 48.

'to be counted among' T.

'open to all' 'whom all might woo' not 'speedy'. T.

darkness of night, night

cf περοσέμιζεν

√ὀλέσανς = σας .

'make use of' P. π. 60.

Ἀντ. γ΄.

Πισάτα παρὰ πατρὸς εὔδοξον Ἱπποδάμειαν
σχεθέμεν· ἐγγὺς ἐλθὼν πολιᾶς ἁλὸς οἶος ἐν ὄρφνᾳ
ἄπυεν βαρύκτυπον
Εὐτρίαιναν· ὁ δ᾽ αὐτῷ
πὰρ ποδὶ σχεδὸν φάνη.
τῷ μὲν εἶπε· Φίλια δῶρα Κυπρίας ἄγ᾽ εἴ τι, Ποσείδαον, ἐς χάριν
τέλλεται, πέδασον ἔγχος Οἰνομάου χάλκεον,
ἐμὲ δ᾽ ἐπὶ ταχυτάτων πόρευσον ἁρμάτων
ἐς Ἆλιν, κράτει δὲ πέλασον.
ἐπεὶ τρεῖς τε καὶ δέκ᾽ ἄνδρας ὀλέσαις
μναστῆρας ἀναβάλλεται γάμον

Ἐπ. γ΄.

θυγατρός. ὁ μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει.
θανεῖν δ᾽ οἷσιν ἀνάγκα, τά κέ τις ἀνώνυμον
γῆρας ἐν σκότῳ καθήμενος ἕψοι μάταν,
ἁπάντων καλῶν ἄμμορος; ἀλλ᾽ ἐμοὶ μὲν οὗτος ἄεθλος
ὑποκείσεται· τὺ δὲ πρᾶξιν φίλαν δίδοι.
ὣς ἔννεπεν· οὐδ᾽ ἀκράντοις ἐφάψατο ἔπεσι. τὸν μὲν ἀγάλλων θεὸς
ἔδωκεν δίφρον τε χρύσεον πτεροῖσίν τ᾽ ἀκάμαντας ἵππους.

Στρ. δ΄.

ἕλεν δ᾽ Οἰνομάου βίαν παρθένον τε σύνευνον,
ἃ τέκε λαγέτας ἓξ ἀρεταῖσι μεμαότας υἱούς.
νῦν δ᾽ ἐν αἱμακουρίαις
ἀγλααῖσι μέμικται,
Ἀλφεοῦ πόρῳ κλιθείς,

---

deest G

71 ἐγγὺς ἐλθὼν Mommsen: ἄγχι δ᾽ ἐλθὼν diorth.: ἐγγύθι (ἐγγύθεν) δ᾽ ἐλθὼν Γ: ἐγγὺς δ᾽ ἐλθών 73 Εὐτρίαιναν diorth.[1]: Εὐρυτρίαιναν 74 ποσὶ diorth. — ἐφάνη AE 75 τῷ μὲν ἔειπε CDFNVΓ: τῷ δ᾽ ἔειπε diorth.[2] 79 τε] γε diorth.[2]: om. τε (lemma B) PQVΓ — ὀλέσαις B cum Gregorio Corinthio: ὀλέσσαις AE: ὀλέσας 80 μναστῆρας ABCELNO: ἐρῶντας diorth. (et apud Philostratum): ματῆρας Bergk: μνηστῆρας (etiam apud Schol. Lycophr. et apud Philostratum) 82 οἷσιν diorth.: ἐφ᾽ οἷς FZ: οἷς — τά A cum Gregorio Corinthio: τά et τί BC: τι — κε] καὶ CEFM: δέ Γ 84 οὑτοσὶ ἄεθλός γ᾽ diorth.[2] 85 δίδου F diorth.[1] 86 ἐφάψατ᾽ ὢν ἔπεσι diorth. 87 δίφρον χρύσεον πτ. CFN: δίφρον χρύσεον ἐν πτ. diorth. 88 ξύνευνον A 89 ἃ τέκε] τέκε δὲ diorth.[1]: τέκε τε diorth.[2]: τέκετο s. ἔτεκεν (post ἑλὼν) Bergk — μεμαλότας diorth. 92 Ἀλφειοῦ et Ἀλφαιοῦ A

τύμβον ἀμφίπολον ἔχων πολυξενωτάτῳ παρὰ βωμῷ. τὸ δὲ κλέος
τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων ἐν δρόμοις
Πέλοπος, ἵνα ταχυτὰς ποδῶν ἐρίζεται
ἀκμαί τ' ἰσχύος θρασύπονοι·
ὁ νικῶν δὲ λοιπὸν ἀμφὶ βίοτον
ἔχει μελιτόεσσαν εὐδίαν

Ἀντ. δ'.

ἀέθλων γ' ἕνεκεν. τὸ δ' αἰεὶ παράμερον ἐσλὸν
ὕπατον ἔρχεται παντὶ βροτῶν. ἐμὲ δὲ στεφανῶσαι
κεῖνον ἱππείῳ νόμῳ
Αἰοληΐδι μολπᾷ
χρή· πέποιθα δὲ ξένον
μή τιν' ἀμφότερα καλῶν τε ἴδριν ἅμμε καὶ δύναμιν κυριώτερον
τῶν γε νῦν κλυταῖσι δαιδαλωσέμεν ὕμνων πτυχαῖς.
θεὸς ἐπίτροπος ἐὼν τεαῖσι μήδεται
ἔχων τοῦτο κᾶδος, Ἱέρων,
μερίμναισιν· εἰ δὲ μὴ ταχὺ λίποι,
ἔτι γλυκυτέραν κεν ἔλπομαι

Ἐπ. δ'.

σὺν ἅρματι θοῷ κλεΐξειν, ἐπίκουρον εὑρὼν ὁδὸν λόγων,
παρ' εὐδείελον ἐλθὼν Κρόνιον. ἐμοὶ μὲν ὦν
Μοῖσα καρτερώτατον βέλος ἀλκᾷ τρέφει·
ἐπ' ἄλλοισι δ' ἄλλοι μεγάλοι. τὸ δ' ἔσχατον κορυφοῦται
βασιλεῦσι. μηκέτι πάπταινε πόρσιον.
εἴη σέ τε τοῦτον ὑψοῦ χρόνον πατεῖν, | ἐμέ τε τοσσάδε νικαφόροις
ὁμιλεῖν, πρόφαντον σοφίᾳ καθ' Ἕλλανας ἐόντα παντᾷ.

---

deest G

**94** τᾶν] τῶν BDN (A supra) diorth.[1] **96** ἀκμά τ' A **99** om. γ' CDFN et Paraphr. — αἰεὶ CDFN: ἀεὶ — ἐσλὸν ABEN: ἐσθλὸν **100** βροτῷ NPQΣ diorth.(¹)[2] — στεφανῶται B (A supra) **101** ἱππίῳ C: ἱππικῷ diorth. **104** ἅμμε καὶ Mommsen: ἄλλον ἢ diorth.[1]: ἀλλὰ καὶ diorth.[2]: ἅμα καὶ **105** δαιδαλωσάμεν A **107** κᾶδος Böckh: κῦδος CL: κῆδος et κῦδος EFMO: κῦρος Rauchenstein: κῆδος **110** κλεΐξειν BDMNOV: κλειξεῖν X[b] **112** ἀλκὰν DL **113** ἐπ' diorth.: ἐν V: omissa praepositione reliqui **116** πρόφαντον CFNOPQ diorth.: προφαντὸν — σοφίαν diorth.[2] — Ἕλληνας EFQ — παντᾷ PI: παντᾶ et πάντα

'as between hills' 'turned

om 476 B.C.

fied the presence of

n who is a just ξεν. in the matter of reverence i.e. is right and good. ὅσιον dat., for ὅσιος takes gen. must be ὅσιον. dat. of manner. reverence for gods by men. with no gen. in Od. 14.82.

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Β΄.

# ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

### ΑΡΜΑΤΙ.

---

**Strophae.**

⏑ –́ ⏑ – –́ ⏑ – ⏓
⏑ ⏖́ – ⏑ – –́ ⏑ ⏖ –́ ⏑ ⏖ –́ ⏑ ⏓
– –́ ⏑ – –́ ⏑ ⏖ –́ ⏑ ⏖ – –́ ⏑ – ⏖́ ⏑ ⏓
–́ ⏑ – ⏖́ ⏑ ⏓
⏓ –́ ⏑ ⏖ –́ ⏑ – ⏖́ ⏑ – –́ ⏑ ⏓
⏑ –́ –́ ⏑ ⏖ –́ ⏑ ⏖ –́ ⏑ – | ⏑ – –́ ⏑ – ⏓
– –́ ⏑ – ⏖́ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ ⏓

**Epodi.**

– –́ ⏑ – –́ ⏑ ⏖ –́ ⏑ ⏓
–́ ⏑ – ⏑ – ⏖́ ⏑ – ⏑ – –́ ⏑ – ⏓
⏖́ ⏑ – –́ ⏑ – ⏑ – ⏖́ ⏑ – –́ ⏑ ⏓
– –́ ⏑ – –́ ⏑ ⏖ –́ ⏑ ⏖ –́ ⏓
⏓ –́ ⏖́ ⏑ – ⏑ – –́ ⏑ – –
⏑ –́ ⏑ – ⏑ – ⏓

Στρ. α΄.

Ἀναξιφόρμιγγες ὕμνοι,
τίνα θεόν, τίν' ἥρωα, τίνα δ' ἄνδρα κελαδήσομεν;
ἤτοι Πίσα μὲν Διός· Ὀλυμπιάδα δ' ἔστασεν Ἡρακλέης
ἀκρόθινα πολέμου·
Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου
γεγωνητέον, ὄπιν δίκαιον ξένων, | ἔρεισμ' Ἀκράγαντος,
εὐωνύμων τε πατέρων ἄωτον ὀρθόπολιν·

Ἀντ. α΄.

καμόντες οἳ πολλὰ θυμῷ
ἱερὸν ἔσχον οἴκημα ποταμοῦ, Σικελίας τ' ἔσαν
ὀφθαλμός, αἰὼν δ' ἔφεπε μόρσιμος, πλοῦτόν τε καὶ χά-
ριν ἄγων

---

2 θεῶν EV — τίνα δ' ἥρωα AEF — τίν' ἄνδρα CDGQΓ 3 ἤ, τοι A 4 ἀκροθίνια CN Zenodotus? 5 Θήρωνα τετραωρίας A — εἵνεκα Γ 6 ὄπιν G. Hermann: ὄπι B?GH: ὀπὶ — ξένων G. Hermann: ξένον 7 ὀρθόπτολιν AD 10 δ' ACDN Schol.: τ'

γνησίαις ἐπ' ἀρεταῖς.
ἀλλ' ὦ Κρόνιε παῖ Ῥέας, ἕδος Ὀλύμπου νέμων
ἀέθλων τε κορυφὰν πόρον τ' Ἀλφεοῦ, | ἰανθεὶς ἀοιδαῖς
εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον

Ἐπ. α΄.

λοιπῷ γένει. τῶν δὲ πεπραγμένων
ἐν δίκᾳ τε καὶ παρὰ δίκαν ἀποίητον οὐδ' ἂν
χρόνος ὁ πάντων πατὴρ δύναιτο θέμεν ἔργων τέλος·
λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ' ἄν.
ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάσκει
παλίγκοτον δαμασθέν,

Στρ. β΄.

ὅταν θεοῦ Μοῖρα πέμψῃ
ἀνεκὰς ὄλβον ὑψηλόν. ἕπεται δὲ λόγος εὐθρόνοις
Κάδμοιο κούραις, ἔπαθον αἳ μεγάλα. πένθος δὲ πιτνεῖ
βαρὺ
κρεσσόνων πρὸς ἀγαθῶν.
ζώει μὲν ἐν Ὀλυμπίοις, ἀποθανοῖσα βρόμῳ
κεραυνοῦ τανυέθειρα Σεμέλα, φιλεῖ | δέ νιν Παλλὰς αἰεί,
καὶ Ζεὺς πατὴρ μάλα, φιλεῖ δὲ παῖς ὁ κισσοφόρος.

Ἀντ. β΄.

λέγοντι δ' ἐν καὶ θαλάσσᾳ
μετὰ κόραισι Νηρῆος ἁλίαις βίοτον ἄφθιτον
Ἰνοῖ τετάχθαι τὸν ὅλον ἀμφὶ χρόνον. ἤτοι βροτῶν γε
πέρας οὔ
κέκριταί τι θανάτου,
οὐδ' ἡσύχιμον ἁμέραν ὁπότε παῖδ' ἀελίου
ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν· | ῥοαὶ δ' ἄλλοτ' ἄλλαι

---

**16** οὐδὲ (om. ἂν) A **19** ἐσλῶν ABPV: ἐσθλῶν **21** πέμψῃ A et Paraphr. A: πέμπῃ **22** ἀνεκὰς] ἀναβᾶσ' FP: ἀνακὰς Schneidewin — δὲ] γὰρ A (sed lemma A δὲ) **23** πάθον A — δ' ἐπίτνει Beck: δ' ἔπιτνεν G. Hermann **25** ἀποθανοῦσα A **26** νιν CDN: μιν — Inter v. 26 et v. 27 versum φιλέοντι δὲ Μοῖσαι om. Triclinii diorth.[2] de sententia Aristophanis Alexandrini: addunt omnes reliqui libri **27** πάϊς A **29** Νηρῆος CD diorth.: Νηρέως ABD: Νηρέος CEΓ **30** βροτῶν γε πέρας οὐ κέκριταί τι θ. Mommsen: βροτῶν κέκριται πέρας οὔ τι θ. B: βρ. κέ. πεῖρας οὔ τι θ. diorth.[1]: βροτῶν γε κέ. πείρας οὔ τι θ. diorth.[2]: βρ. γε κέ. πέρας οὔ τι θ. **32** ἡσύχιμον A supra: ἁσύχιμον EFMPΣ: ἀσύχιμον — ἀμέραν PQ — ἁλίου BEFV diorth.: ἡλίου PQ **33** δ'] τ' A

temple of Zeus at Olympia.

Reaij, warm, cheer
guard

explanatory afterthoughts

sc. the quarrel of Theron & Hiero. was years before.

'make undone the accomplishment'.

sc. though begetting, cannot destroy.

ἀνεκ. upwards

'falls in with'

used of gods in Pindar. esp

end, issue

turning back. changing to the other side, contrary.

oun. of. fatum.

Keensighted

'equally lucky' Jot. since ‖ κοιναί.

'eager longing'

. 1.57.

εὐθυμιᾶν τε μέτα καὶ πόνων ἐς ἄνδρας ἔβαν.

'Επ. β'.

οὕτω δὲ Μοῖρ', ἅ τε πατρώϊον
τῶνδ' ἔχει τὸν εὔφρονα πότμον, θεόρτῳ σὺν ὄλβῳ
ἐπί τι καὶ πῆμ' ἄγει παλιντράπελον ἄλλῳ χρόνῳ·
ἐξ οὗπερ ἔκτεινε Λαΐον μόριμος υἱός
συναντόμενος, ἐν δὲ Πυθῶνι χρησθὲν
παλαίφατον τέλεσσεν.

Στρ. γ'.

ἰδοῖσα δ' ὀξεῖ' Ἐριχὺς
ἔπεφνέ οἱ σὺν ἀλλαλοφονίᾳ γένος ἀρήϊον·
λείφθη δὲ Θέρσανδρος ἐριπέντι Πολυνείκει, νέοις ἐν ἀέθλοις
ἐν μάχαις τε πολέμου
τιμώμενος, Ἀδραστιδᾶν θάλος ἀρωγὸν δόμοις·
ὅθεν σπέρματος ἔχοντα ῥίζαν πρέπει | τὸν Αἰνησιδάμου
ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν.

Ἀντ. γ'.

Ὀλυμπίᾳ μὲν γὰρ αὐτός
γέρας ἔδεκτο, Πυθῶνι δ' ὁμόκλαρον ἐς ἀδελφεόν
Ἰσθμοῖ τε κοιναὶ Χάριτες ἄνθεα τεθρίππων δυωδεκα-
δρόμων
ἄγαγον· τὸ δὲ τυχεῖν
πειρώμενον ἀγωνίας, ἀφροσυνᾶν παραλύει.
ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος | φέρει τῶν τε καὶ
τῶν
καιρόν, βαθεῖαν ὑπέχων μέριμναν ἀγροτέραν,
ἀστὴρ ἀρίζηλος, ἐτυμώτατον

---

**34** εὐθυμιῶν BC diorth.¹ — μετὰ M Böckh **35** ἃ τὸ πατρ. Schol.? **36** τόνδ' C **37** ἐπί τε καὶ Schol.? — ἄλλος χρόνος A infra **38** Λαῖον Mommsen: Λᾷον G. Hermann: Λάϊον — μόριμος diorth.: μόρσιμος **40** τελέσας EF **41** ἰδοῦσα A — Ἐρινὺς EGHV: Ἐριννὺς **42** ἔπεφνέ οἱ P diorth.²: πέφνεν ἑοῖ diorth.¹: πέφνεν οἷ Ω: πέφνεν οἱ A: πέφνε̄ οἱ B: πέφνε οἱ **43** ἐριπόντι diorth.: utrumque Schol. — om. ἐν diorth.² **45** Ἀδραστιδᾶν diorth.²: Ἀδραστίδαν diorth.¹: Ἀδραστίδων Schol.?: Ἀδραστεΐδαν (-εϊδᾶν) — δόμοιο A **46** ὅθε B (diorth.¹) — ἔχοντα (ENPQ supra) Aristarchus: ἔχοντι et plena interpunctio post ῥίζαν (Didymus) **52** ἀφροσυνᾶν παραλύει e Schol. Mommsen: παραλύει δυσφρόνων diorth.: παραλύει δυσφρονᾶν G. Dindorf: δυσφορὰν παραλύει Σ: δυσφροσύναν παραλύει **53** τῶν τε] τῶνδε A: τῶν δὲ Σ **55** ἐτυμώτατον] ἐτήτυμον marg. Rom.: ἀλαθινὸν diorth.

ἀνδρὶ φέγγος, εἰ δέ νιν ἔχων τις οἶδεν τὸ μέλλον·
ὅτι θανόντων μὲν ἐνθάδ' αὐτίκ' ἀπάλαμνοι φρένες
ποινὰς ἔτισαν, τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ
ἀλιτρὰ κατὰ γᾶς δικάζει τις ἐχθρᾷ
λόγον φράσαις ἀνάγκᾳ.

Στρ. δ'.

ἴσαις δὲ νύκτεσσιν αἰεί,
ἴσαις δ' ἁμέραις ἀέλιον ἔχοντες, ἀπονέστερον
ἐσλοὶ δέκονται βίοτον, οὐ χθόνα ταράσσοντες ἔγχερος ἀκμᾷ
οὐδὲ πόντιον ὕδωρ
κεινὰν παρὰ δίαιταν· ἀλλὰ παρὰ μὲν τιμίοις
θεῶν, οἵτινες ἔχαιρον εὐορκίαις, | ἄδακρυν νέμονται
αἰῶνα· τοὶ δ' ἀπροσόρατον ὀκχέοντι πόνον.

Ἀντ. δ'.

ὅσοι δ' ἐτόλμασαν ἐστρὶς
ἑκατέρωθι μείναντες ἀπὸ πάμπαν ἀδίκων ἔχειν
ψυχάν, ἔτειλαν Διὸς ὁδὸν παρὰ Κρόνου τύρσιν· ἔνθα μακάρων
νᾶσος ὠκεανίδες
αὖραι περιπνέοισιν· ἄνθεμα δὲ χρυσοῦ φλέγει,
τὰ μὲν χερσόθεν ἀπ' ἀγλαῶν δενδρέων, | ὕδωρ δ' ἄλλα φέρβει,
ὅρμοισι τῶν χέρας ἀναπλέκοντι καὶ στεφάνους,

Ἐπ. δ'.

βουλαῖς ἐν ὀρθαῖσι Ῥαδαμάνθυος,
ὃν πατὴρ ἔχει Διὸς ἑτοῖμον αὐτῷ πάρεδρον,
πόσις ὁ πάντων Ῥέας ὑπέρτατον ἐχοίσας θρόνον.

---

**56** εἰ δέ] εἴ γέ Böckh — νιν ACN: μιν — ἔχων] ἔχει diorth. **57** αὐτίκ'] αὖτις Rauchenstein **59** ἐχθρὰ (ἀνάγκα) A ante corr. (φράσασ' M) **60** -σαις B infra, N: -σας — **61** ἀεὶ BP — **61. 62** ἴσαις δὲ νύκτ. . . . ἴσαις δ' ἁμ. Mommsen: ἴσον δὲ νύκτ. . . . ἴσα δ' ἐν ἁμ. diorth.: ἴσαις δὲ νύκτ. (δ' ἐν νύκτ.) . . . ἴσαις δ' ἐν ἁμ. (ἀμ.) **62** ἀέλιον Schneidewin: ἅλιον CFQ: ἄλιον **63** ἐσλοὶ ABEV: ἐσθλοὶ — δέκονται A: δὲ δέρκονται P: νέμονται diorth.: δέρκονται — ἔγχερος ἀκμᾷ e Schol. Mommsen: ἀλκᾷ χερῶν (ἀκμᾷ χ., ἀρχᾷ χ.) diorth.: ἐν χερὸς ἀκμᾷ **65** κενεὰν] κεινὰν diorth. **67** ἀπροόρατον inter Schol. — ἐκχέοντι AC?MV **70** ἔτειλαν diorth.: ἔστειλαν **71** νᾶσος G diorth.: νᾶσον **71** περιπνέοισιν CGP: παραπνείουσιν A: περιπνέοισαν (σαι) B: περιπνέουσιν **74** στεφάνας G. Hermann: κεφαλάς Pauw: στεφάνοις C supra, Γ diorth. **75** ἐν ὀρθαῖς diorth.[1]: ὀρθαῖς (om. ἐν) diorth.[2] **76** Διὸς Mommsen: Κρόνος diorth.: γῆς A: γᾶς — ἑτοῖμον ACN: ἕτοιμόν γε PQ: ἕτοιμον — et αὐτῷ et αὐτῷ B **77** ὑπέρτατον ἐχοίσας θρόνον diorth.: ὕπατον ἐχοίσας παῖς θρόνον

no apodosis. sc. 'such a person would understand the drift of my words' sc [illegible]
[illegible]

no change of season equal to night. 'equal, unchanging days'

'for a straitened subsistence'

'according to'

sc. κεφαλὰς crown their heads.

that cannot be moved from its place, unmoving

'for the general' Shakes. = 'public'

Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται·
Ἀχιλλέα τ' ἔνεικ', ἐπεὶ Ζηνὸς ἦτορ
λιταῖς ἔπεισε, μάτηρ·

Στρ. ε'.

ὃς Ἕκτορ' ἔσφαλε, Τροίας
ἄμαχον ἀστραβῆ κίονα, Κύκνον τε θανάτῳ πόρεν,
Ἀοῦς τε παῖδ' Αἰθίοπα. πολλά μοι ὑπ' ἀγκῶνος ὠκέα
βέλη
ἔνδον ἐντὶ φαρέτρας
φωνάεντα συνετοῖσιν· ἐς δὲ τὸ πὰν ἑρμηνέων
χατίζει. σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ· | μαθόντες δέ, λάβροι
παγγλωσσίᾳ κόρακες ὥς, ἄκραντα γαρύετον

Ἀντ. ε'.

Διὸς πρὸς ὄρνιχα θεῖον.
ἔπεχε νῦν σκοπῷ τόξον. ἄγε θυμέ, τίνα βάλλομεν
ἐκ μαλθακᾶς αὖτε φρενὸς εὐκλέας ὀϊστοὺς ἱέντες; ἐπί τοι
Ἀκράγαντι τανύσαις
αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόῳ,
τεκεῖν μή τιν' ἑκατόν γε ἐτέων πόλιν | φίλοις ἄνδρα μᾶλλον
εὐεργέταν πραπίσιν ἀφθονέστερόν τε χέρα

Ἐπ. ε'.

Θήρωνος. ἀλλ' αἶνον ἐπέβα κόρος
οὐ δίκᾳ συναντόμενος, ἀλλὰ μάργων ὑπ' ἀνδρῶν,
τὸ λαλαγῆσαι θέλων κρύφον τε θέμεν ἐσλῶν καλοῖς
ἔργοις, ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευγεν,
καὶ κεῖνος ὅσα χάρματ' ἄλλοις ἔθηκεν,
τίς ἂν φράσαι δύναιτο;

---

79 Ἀχιλέα ABHΔ 81 Ἕκτορα σφάλε A: Ἕκτορ' ἔσφηλε V Τρῴας Böckh 83 Αἰθίοππα diorth.[2] 85 φωνάντα A: φωνᾶντα et (cum Eustathio) φωνεῦντα diorth. — τὸ πὰν ACEV: τοπὰν (diorth.[1]): τὸ πᾶν 87 γαρυέμεν inter Schol.?: γαρύεται (schemate) gl. A? 88 ὄρνιθα (A infra) NV 91 Ἀκράγαντα Γ diorth. — τανύσ(σ)ας GHΓ: utrumque Schol. 92 αὐδάσομεν B — ἐνόρκιον] ὅρκιον CN: μεθόρκιον lemma A — ἀληθεῖ CDGV (diorth) 93 γε ἐτέων A: γ' ἐτέων 94 τε πραπίσιν A — ἀφθονώτερον N 95 ἐπέβα] ἔβα diorth. 97 ἐθέλων Böckh — κρύφον (diorth.) Aristarchus: κρύφιον — ἐσλῶν (A?) sive ἐσθλῶν (diorth.[12]) Aristarchus: ἐσλὸν (A?BEΓ) sive ἐσθλὸν (CD [diorth.[1]]) — καλοῖς (G? [diorth.[1]]) Aristarchus: κακοῖς 98 ἀρθμὸν diorth.[2] — περιφεύγει A 99 καὶ κεῖνος Mommsen: ἐκεῖνος diorth.: κεῖνος Rom.: κἀκεῖνος

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Γ'.

# ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

### ΕΙΣ ΘΕΟΞΕΝΙΑ.

---

**Strophae.**

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒

**Epodi.**

–́ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒ | –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒

Στρ. α'.

Τυνδαρίδαις τε φιλοξείνοις ἁδεῖν καλλιπλοκάμῳ θ' Ἑλένᾳ
κλεινὰν Ἀκράγαντα γεραίρων εὔχομαι,
Θήρωνος Ὀλυμπιονίκαν ὕμνον ὀρθώσαις, ἀκαμαντοπόδων
ἵππων ἄωτον. Μοῖσα δ' οὕτω ποι παρέστα μοι νεοσί-
γἄλον εὑρόντι τρόπον
Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ

Ἀντ. α'.

ἀγλαόκωμον. ἐπεὶ χαίταισι μὲν ζευχθέντες ἔπι στέφανοι
πράσσοντί με τοῦτο θεόδματον χρέος,
φόρμιγγά τε ποικιλόγαρυν καὶ βοὰν αὐλῶν ἐπέων τε θέσιν
Αἰνησιδάμου παιδὶ συμμῖξαι πρεπόντως, ἅ τε Πίσα με
γεγωνεῖν· τᾶς ἄπο

---

Inscr. om. εἰς AC **1** φιλοξείνοις ADGPV diorth.[1]: φιλοξένοις BCE FQΓ diorth.[2] — ἁδεῖν AGΣ — Ἑλένη A **2** κλεινὴν B diorth.[1] — ὀρθώσαις AB: ὀρθώσας **4** ποι] τοι DOPQ: που C — παρέσται D — νεοσίγηλον lemma A **5** Δωρίᾳ Γ **7** θεόδμητον BC diorth.[1]: θεόδματον ADΓ diorth.[2] **9** παιδὶ] πὰρ παιδὶ B — πρεπόντως] Θήρωνος B — γεγώνειν in Schol.: γεγωνεῖ Emperius

*θεόμοροι νίσοντ' ἐπ' ἀνθρώπους ἀοιδαί,*

'Επ. α'.

*ᾧ τινι, κραίνων ἐφετμὰς Ἡρακλέος προτέρας,*
*ἀτρεκὴς Ἑλλανοδίκας γλεφάρων Αἰτωλὸς ἀνὴρ ὑψόθεν*
*ἀμφὶ κόμαισι βάλῃ γλαυκόχροα κόσμον ἐλαίας· τάν ποτε*
*Ἴστρου ἀπὸ σκιαρᾶν παγᾶν ἔνεγκεν | Ἀμφιτρυωνιάδας,*
*μνᾶμα τῶν Οὐλυμπίᾳ κάλλιστον ἀέθλων.*

Στρ. β'.

*δᾶμον Ὑπερβορέων πείσαις Ἀπόλλωνος θεράποντα λόγῳ,*
*πιστὰ φρονέων Διὸς αἰτεῖ πανδόκῳ*
*ἄλσει σκιαρόν τε φύτευμα ξυνὸν ἀνθρώποις στέφανόν τ' ἀρετᾶν.*
*ἤδη γὰρ αὐτῷ, πατρὶ μὲν βωμῶν ἁγισθέντων, διχόμηνις ὅλον χρυσάρματος*
*ἑσπέρας ὀφθαλμὸν ἀντέφλεξε Μήνα,*

Ἀντ. β'.

*καὶ μεγάλων ἀέθλων ἁγνὰν κρίσιν καὶ πενταετηρίδ' ἁμᾶ*
*θῆκε ζαθέοις ἐπὶ κρημνοῖς Ἀλφεοῦ·*
*ἀλλ' οὐ καλὰ δένδρε' ἔθαλλεν χῶρος ἐν βάσσαις Κρονίου Πέλοπος.*
*τούτων ἔδοξεν γυμνὸς αὐτῷ κᾶπος ὀξείαις ὑπακουέμεν αὐγαῖς ἀελίου.*
*δὴ τότ' ἐς γαῖαν πορεύεν θυμὸς ὥρμα*

'Επ. β'.

*Ἰστρίαν νιν· ἔνθα Λατοῦς ἱπποσόα θυγάτηρ*
*δέξατ' ἐλθόντ' Ἀρκαδίας ἀπὸ δειρᾶν καὶ πολυγνάμπτων μυχῶν,*

---

10 *θεόμοροι* AMPΓ diorth.[2]: *θεύμοροι* diorth.[1]: *θεόμοιροι* (etiam A lemma) — *νίσσοντ'* CE diorth.[2]: *νήσ(σ)οντ'* Ξ: *νείσοντ'* M: *νείσσοντ'* diorth.[1] **12** *γλεφάρων* BEFΔ: *βλεφάρων* **13** *βάλοι* diorth.[2] — *τήν* A **14** *σκιερᾶν* AΓ: *σκιαρῶν* diorth.[2] — *ἔνεγκε(ν)* EF: *ἔνεικεν* — *Ἀμφιτρυωνίδας* diorth.: *Ἀμφιτρυωνιάδας* **15** *Οὐλ.* diorth.: *'Ολ.* — *ἄθλων* G diorth. — Post *ἀέθλων* plene dist. ABD (e Schol. Friederichs): commate reliqui **16** *πείσαις* AB: *πείσας* — *λόγῳ*] *ὅγε* diorth. **17** *αἰτεῖ* ABE diorth.: *αἴτει* B post corr., C: utrumque GVΓ: *ἔτει* DP cum Eustathio et Greg. Corinth.: *Ἄλτει* Koene **18** *σκιερὸν* CD — *στεφανόν τ' ἀρετᾶς* diorth.: *τ' ἀρετᾶν στέφανον* Bergk **20** *Μήνη* D?P **21** *μεγάλαν* A — *ἁμᾶ* Heyne: *ἅμα* diorth.[1]: *ἀμᾶ* **23** *βάσαις* AC: *βήσαις* in Schol. **24** *ἀελίου* ACΞ: *ἀλίου* D: *ἁλίου* **25** *πορεύεν* A: *πορεύειν* — *ὥρμα* A: *ὥρμαιν'* **26** *'Ιστρία νιν* Aristarchus: *'Ιστριανήν* diorth. **27** *δέξετ'* GΣ — *πολυγνάπτων* C diorth.[2]

*εὖτέ νιν ἀγγελίαις Εὐρυσθέος ἔντυ᾽ ἀνάγκα πατρόθεν*
*χρυσόκερων ἔλαφον θήλειαν ἄξονθ᾽, | ἅν ποτε Ταϋγέτα*
*ἀντιθεῖσ᾽ Ὀρθωσία ἔγραψεν ἱεράν.*

Στρ. γ'.

*τὰν μεθέπων ἴδε καὶ κείναν χθόνα πνοιαῖς ὄπιθεν Βορέα*
*ψυχροῦ. τόθι δένδρεα θάμβαινε σταθείς.*
*τῶν νιν γλυκὺς ἵμερος ἔσχεν δωδεκάγναμπτον περὶ τέρμα δρόμου*
*ἵππων φυτεῦσαι. καί νυν ἐς ταύταν ἑορτὰν ἵλαος ἀντιθέοισιν νίσεται*
*σὺν βαθυζώνου διδύμνοις παισὶ Λήδας.*

Ἀντ. γ'.

*τοῖς γὰρ ἐπέτραπεν Οὔλυμπόνδ᾽ ἰὼν θαητὸν ἀγῶνα νέμειν*
*ἀνδρῶν τ᾽ ἀρετᾶς πέρι καὶ ῥιμφαρμάτου*
*διφρηλασίας. ἐμὲ δ᾽ ὦν πᾳ θυμὸς ὀτρύνει φάμεν Ἐμμενίδαις*
*Θήρωνί τ᾽ ἐλθεῖν κῦδος, εὐίππων διδόντων Τυνδαριδᾶν, ὅτι πλείσταισι βροτῶν*
*ξεινίαις αὐτοὺς ἐποίχονται τραπέζαις,*

Ἐπ. γ'.

*εὐσεβεῖ γνώμᾳ φυλάσσοντες μακάρων τελετάς.*
*εἰ δ᾽ ἀριστεύει μὲν ὕδωρ, κτεάνων δὲ χρυσὸς αἰδοιέστατος·*
*νῦν δὲ πρὸς ἐσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων ἅπτεται*
*οἴκοθεν Ἡρακλέος σταλᾶν. τὸ πόρσω | δ᾽ ἐστὶ σοφοῖς ἄβατον*
*κἀσόφοις. οὔ νιν διώξω· κεινὸς εἴην.*

---

**28** *νιν* Mommsen: *μιν* **29** *χρυσεόκερων* A **30** *Ὀρθωσίας* Ahrens — *ἱράν* diorth.[2] **31** *ἴδε* C post corr., DNP diorth.[2]: *εἶδε* — *καὶ κείναν* Böckh: *κἀκείναν* — *πνοιᾶς* Rom. et *ώ* — *ὄπισθεν* DGΓ (diorth.) — *Βορέα* BEPVΓ diorth.: *Βορέου* C: *Βορέαο* A (diorth.[1]) cum mss. Gregorii Cor. **32** *θάμβαινε* A: *θάμαινε* OP: *θαύμαινε* **33** *μιν* A — *-γναπτον* E diorth.[2] **34** *νυν* diorth.: *νῦν* — *εἰς* A — *νίσεται* ABCD: *νίσσεται* U: *νήσεται* Γ: *νείσεται* M: *νείσσεται* diorth. **35** *διδύμνοις* G. Hermann: *διδύμμοις* diorth.[1]: *διδύμοις* A diorth.[2]: *διδύμοισι* BCDΓ — *ἐπέτρεπεν* CDΓ **38** *διφραλ.* Δ — *πᾳ* (*πα*, *πη*) diorth.: *πὰρ* (diorth.[1]): *πᾶς* Bergk: *πᾶ* ADFPΓ: *πᾶι* BEV: *πᾶ* G: *πῆ* Q **39** *κῦδος γ᾽* A **40** *ξεινίαις* diorth.: *ξενίαις* **41** *φυλάττοντες* Σ **42** *αἰδοιέστατος* ANO (diorth.): *αἰδοιέστατον* **43** *δὲ* ADMOΓ Schol.: *γε* **44** *Ἡρακλέους* A — *στηλᾶν* ABQ diorth. — *ἔστι* MO diorth. **45** *οὔ νιν* CN: *οὔ μιν* DΓ: *οὔ μην* A: *οὐ μὴν* B diorth.: *οὐ μὰν* Thiersch — et *κεῖνος* et *κεινὸς* in Schol.

gaped at, admirable

# ΟΛΥΜΠΙΟΝΙΚΑΙ Δ΄.

# ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩι

## ΑΡΜΑΤΙ.

### Strophae.

⏑ ⏑ –́ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – ⏑ – ⏒
⏑ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – x́ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏒
– –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – –
– –́ – x – –́ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ –
⏑ –́ ⏑ – ⏑ – ⏒
– –́ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ –
x ⏑ –́ ⏑ ⏑ – ⏖ ⏑ –́ ⏑ ⏑ – – –́ ⏑ – ⏑ ⏓
– –́ ⏑ ⏑ – –́ ⏑ –
⏑ ⏑ –́ ⏑ – ⏑ – ⏑ – ⏒

### Epodi.

– –́ ⏑ ⏑ – ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ – –
⏑ –́ ⏑ – ⏑ – ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏓
⏑ –́ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ – ⏑ ⏖ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑
– –́ ⏑ ⏑ – ⏑ ⏑ –
⏑ –́ –́ ⏑ – ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ –
⏖ ⏑ ⏖ ⏑ –́ ⏑ ⏑ –
⏑ –́ ⏑ – ⏑ ⏓

Στρ.

Ἐλατὴρ ὑπέρτατε βροντᾶς ἀκαμαντόποδος Ζεῦ· τεαὶ γὰρ ὧραι
ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς ἑλισσόμεναί μ' ἔπεμψαν
ὑψηλοτάτων μάρτυρ' ἀέθλων.
ξείνων δ' εὖ πρασσόντων ἔσαναν αὐτίκ' ἀγγελίαν
ποτὶ γλυκεῖαν ἐσλοί.
ἀλλ', ὦ Κρόνου παῖ, ὃς Αἴτναν ἔχεις,

---

Inscr. ἅρματι A: ἀπήνῃ Böckh: τεθρίππῳ BDΔ: ἵπποις CFΓ diorth. 1 Ὧραι Süvern 4 πραττόντων A 5 ἐσλοὶ ABE: ἐσθλοὶ 6 ἀλλ' ὦ CN diorth.[2]: ἀλλὰ

*ἶπον ἀνεμόεσσαν ἑκατογκεφάλα Τυφῶνος ὀμβρίμον,*
*Οὐλυμπιονίκαν δέκευ*
*Χαρίτων ἕκατι τόνδε κῶμον,*

*Ἀντ.*

*χρονιώτατον φάος εὐρυσθενέων ἀρετᾶν. Ψαύμιος γὰρ ἵκει*
*ὀχέων, ὅς, ἐλαίᾳ στεφανωθεὶς Πισάτιδι, κῦδος ὄρσαι*
*σπεύδει Καμαρίνᾳ. θεὸς εὔφρων*
*εἴη λοιπαῖς εὐχαῖς· ἐπεί νιν αἰνέω μάλα μὲν*
*τροφαῖς ἑτοῖμον ἵππων,*
*χαίροντά τε ξενίαις πανδόκοις*
*καὶ πρὸς ἡσυχίαν φιλόπολιν καθαρᾷ γνώμᾳ τετραμμένον.*
*οὐ ψεύδεϊ τέγξω λόγον·*
*διάπειρά τοι βροτῶν ἔλεγχος·*

*Ἐπ.*

*ἅπερ Κλυμένοιο παῖδα*
*Λαμνιάδων γυναικῶν*
*ἔλυσεν ἐξ ἀτιμίας.*
*χαλκέοισι δ' ἐν ἔντεσι νικῶν δρόμον*
*ἔειπεν Ὑψιπυλείᾳ μετὰ στέφανον ἰών·*
*Οὗτος ἐγὼ ταχυτᾶτι·*
*χεῖρες δὲ καὶ ἦτορ ἴσον.*
*φύονται δὲ καὶ νέοις ἐν ἀνδράσιν πολιαὶ*
*θαμάκι παρὰ τὸν ἁλικίαις*
*ἐοικότα χρόνον.*

---

**7** *ἶπον* ΒΕΓ diorth.: *ἵππον* A (marg. C) NV: *ἴππον* C: *ἶπον* G: *ἵπον* D — *ἠνεμ.* diorth. — *ὀμβρ.* CEΓ (diorth.[1]): *ὀβρ.* ABD diorth. **8** *Οὐλ.* diorth.: *Ὀλ.* — *δέκευ* diorth.: *δέξαι* **9** *ἕκατι* diorth.: *γ' ἕκατι* A: *θ' ἕκατι* BCDΔ: *δ' ἕκατι* VΓ **10** *χρ.*] *ὕμνον χρ.* A — *Ψαύμιδος* diorth.[2] — *ἵκει* ΒΕΓ: *ἴκει* C?: *ἥκει* AD diorth. **13** *νιν* ACN: *μιν* **14** *ἑτοῖμον* A (C lemma) N: *ἕτοιμον* **15** *ξειν.* Σ diorth. **16** *ἁσυχίαν* Heyne — *φιλόπτολιν* A — *γνώμη* Γ diorth.[1] **17** *ψεύδεϊ* CNQ (diorth.): *ψευδεῖ* G: *ψεύδει* **19** *ἅπερ* AN diorth.: *ἥπερ* lemma C: *ἅτε* C: *ἅπερ καὶ* **20** *Λημν.* G **22** *χαλκοῖσι* diorth. — *χαλκέοισιν; ἐν* (om. δ') lemma A — om. *ἐν* A — *ἔντεσσι* CP — *δρόμων* Rom. **23** *Ὑψιπύλεια* diorth.[2]? **24** *οὗτος μὲν ἐγὼ* A (sed lemma om. *μὲν*) — *ταχυτᾶτι* cum antecedentibus coniungunt ABDΓ diorth.[2] Schol. A cum Apollonio Dyscolo: cum sqq. CEP diorth.[1] Schol. D **25** *χέρες* CP diorth.[2] — om. *δὲ* lemma A et Paraphr. A (Σ) **27** *θαμάκι* A: *θαμὰ καὶ* — *πὰρ τὸν* (diorth.[1])[2] — *ἁλικίαις* AV: *ἁλικίας*

strong. mighty

'indeed .. and besides'.

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Ε΄.

# ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩι

### ΑΠΗΝΗι.

**Strophae.**

x – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ –
x – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – ⏑ – ⏓
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ – ⏓

**Epodi.**

x – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – ⏑ – ⏓
x – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ – ⏓

Στρ. α΄.

Ὑψηλᾶν ἀρετᾶν καὶ στεφάνων ἄωτον γλυκὺν
τῶν Οὐλυμπίᾳ, Ὠκεανοῦ θύγατερ, καρδίᾳ γελανεῖ
ἀκαμαντόποδός τ' ἀπήνας δέκευ Ψαύμιός τε δῶρα·

Ἀντ. α΄.

ὃς τὰν σὰν πόλιν αὔξων, Καμάρινα, λαοτρόφον
βωμοὺς ἓξ διδύμους ἐγέραιρεν ἑορταῖς θεῶν μεγίσταις
ὑπὸ βουθυσίαις ἀέθλων τε πεμπαμέροις ἁμίλλαις,

Ἐπ. α΄.

ἵπποις ἡμιόνοις τε μοναμπυκίᾳ τε. τὶν δὲ κῦδος ἁβρὸν
νικάσαις ἀνέθηκε, καὶ ὃν πατέρ' Ἄκρων' ἐκάρυξε καὶ τὰν
νέοικον ἕδραν.

Στρ. β΄.

ἱκὼν δ' Οἰνομάου καὶ Πέλοπος παρ' εὐηράτων
σταθμῶν, ὦ πολιάοχε Παλλάς, ἀείδει μὲν ἄλσος ἁγνὸν

---

Inscr. ἀπήνῃ Heyne: ἀπήνῃ καὶ κέλητι καὶ τεθρίππῳ AC: τε. ἀπ. καὶ κέλ. Γ diorth.[2]: ἀπ. καὶ κέλ. BD diorth.[1] — addit ἰθυφαλλικόν F

2 Οὐλ. diorth.: Ὀλ. 3 om. τ' diorth.[2] — Ψαύμιδος diorth.[2] 4 Καμάρινα G. Hermann: Καμαρίνα diorth.[2]: Καμαρίναν 5 ἐγέραιρεν A (Schol.?): ἐγέραρεν CP diorth.: γέραρεν 6 πεμπαμέροις ante corr. Q? diorth.[2]?: πενταμέροις Schol.?: πενθαμέροις EF: πεμπταμέροις 7 μοναμπυκίας γε lemma A — τὶν] τοι (diorth.) 8 νικάσαις Heyne: νικάσας BCD: νικήσας AGΓ diorth. — Ἄκρωνα κάρυξε (diorth.[1]?) — ἐκήρυξε AG 9 et 10 interierunt in B

9 ἵκων M: ἥκων A: ἐλθών diorth.: ἱκών (etiam P) — εὐηλάτων CD

*τὸ τεόν, ποταμόν τε Ὦανιν, ἐγχωρίαν τε λίμναν*

**Ἀντ. β'.**

*καὶ σεμνοὺς ὀχετούς, Ἵππαρις οἷσιν ἄρδει στρατόν,*
*κολλᾷ τε σταδίων θαλάμων ταχέως ὑψίγυιον ἄλσος,*
*ὑπ' ἀμαχανίας ἄγων ἐς φάος τόνδε δᾶμον ἀστῶν·*

**Ἐπ. β'.**

*αἰεὶ δ' ἀμφ' ἀρεταῖσι πόνος δαπάνα τε μάρναται πρὸς*
*ἔργον*
*κινδύνῳ κεκαλυμμένον· ηὖ δ' ἔχοντες σοφοὶ καὶ πολίταις*
*ἔδοξαν ἔμμεν.*

**Στρ. γ'.**

*Σωτὴρ ὑψινεφὲς Ζεῦ, Κρόνιόν τε ναίων λόφον*
*τιμῶν τ' Ἀλφεὸν εὐρὺ ῥέοντα Ἰδαῖόν τε σεμνὸν ἄντρον,*
*ἱκέτας σέθεν ἔρχομαι Λυδίοις ἀπύων ἐν αὐλοῖς,*

**Ἀντ. γ'.**

*αἰτήσων πόλιν εὐανορίαισι τάνδε κλυταῖς*
*δαιδάλλειν, σέ τ', Ὀλυμπιόνικε, Ποσειδανίαισιν ἵπποις*
*ἐπιτερπόμενον φέρειν γῆρας εὔθυμον ἐς τελευτάν,*

**Ἐπ. γ'.**

*υἱῶν, Ψαῦμι, παρισταμένων. ὑγίεντα δ' εἴ τις ὄλβον ἄρδει,*
*ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν προστιθείς, μὴ ματεύσῃ*
*θεὸς γενέσθαι.*

---

v. 11—24 interierunt in B

**11** *Ὥανιν* Rom.: *Ὄανιν* CMPV: *Ὄανον* AEΓ: *Ὥανον* et *Ὥαννον* diorth. **13** *τε*] *δὲ* Bergk — *ὑψίγειον* M (diorth.[1]): *ὑψίπυργον* (inter Schol. A): *ὑψίγυον* et *ὑψίγυιον* **14** *ἀπ' ἀμ.* diorth. — *ἀμαχ.* CFPΓ: *ἀμηχ.* ADVΣ diorth. **16** *κεκαλυμμένος* lemma A et Schol. A: *κεχαλασμένον* Schol. B ad Isthm. III, 52 — *ηὖ δ'* G. Hermann: *εἰ δὴ* Böckh: *εὖ δὲ* et *εὖ δ'* — *ἔμμεναι* AMO **18** *εὐρυρρέοντα* A — *-τα Ἰδ.* ANP diorth.: *-τ' Ἰδ.* **19** *ἠπύων* diorth.([1])[2] — *ἐναύλοις* inter Schol. **20** *εὐανορίαις* A — *τήνδε* N diorth.[1] — *Ποσειδανίαισιν* (Schol. [B]CD): *Ποσειδωνίοισιν* A diorth.[1]([2]): *Ποσειδανίοισιν* CDEPVΓ (diorth.[2]): mascul. Paraphr. A **22** *-εὶς* OPQ **23** *ὑγιέντα* Γ Aristarchus — *ἄρδοι* (Schol. A post corr.) **24** *ἐξαρκῶν* PQ diorth.[1] — *κτεάνεσι* A (lemma A et Schol. A *κτεάτεσσι*)

2.12.

# ΟΛΥΜΠΙΟΝΙΚΑΙ ς΄.

## ΑΓΗΣΙΑι ΣΥΡΑΚΟΣΙΩι

### ΑΠΗΝΗι.

---

### Strophae.

– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓
⏑ –́ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒

### Epodi.

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒

Στρ. α΄.

Χρυσέας ὑποστάσαντες εὐτειχεῖ προθύρῳ θαλάμου
κίονας, ὡς ὅτε θαητὸν μέγαρον,
πάξομεν· ἀρχομένου δ' ἔργου πρόσωπον
χρὴ θέμεν τηλαυγές. εἰ δ' εἴη μὲν Ὀλυμπιονίκας,
βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ,
συνοικιστήρ τε τᾶν κλεινᾶν Συρακοσσᾶν· τίνα κεν φύγοι ὕμνον
κεῖνος ἀνήρ, ἐπικύρσαις ἀφθόνων ἀστῶν ἐν ἱμερταῖς ἀοιδαῖς;

---

Inscr. *Συρακοσίῳ* Böckh: *Συρακουσίῳ*
1 *εὐτυχεῖ* CΓ (diorth.) 2 *θητὸν* D 3 *ἀρχομένου* ABCDΓ diorth. cum Schol. et Eustathio; apud Plutarchum et in optimis mss. apud Lucianum: *ἀρχομένους* apud Julianum et vulg. apud Lucianum 6 om. *τᾶν* Γ diorth.² — *Συρακοσσᾶν* BCDEP: *Συρακουσᾶν* AOVΓ diorth.: *Συρακοσᾶν* Δ — *κεν*] *καὶ* ΛΣ: *κε* BΔ — *φύγῃ* GPVΓ 7 -*σαις* C: -*σας*

Ἀντ. α'.

ἴστω γὰρ ἐν τούτῳ πεδίλῳ δαιμόνιον πόδ' ἔχων
Σωστράτου υἱός. ἀκίνδυνοι δ' ἀρεταὶ
οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις
τίμιαι· πολλοὶ δὲ μέμνανται, καλὸν εἴ τι πονηθῇ.
Ἁγησία, τὶν δ' αἶνος ἑτοῖμος, ὃν ἐν δίκᾳ
ἀπὸ γλώσσας Ἄδραστος μάντιν Οἰκλείδαν ποτ' ἐς Ἀμ-
φιάρηον
φθέγξατ', ἐπεὶ κατὰ γαῖ' αὐτόν τέ νιν καὶ φαιδίμας
ἵππους ἔμαρψεν.

Ἐπ. α'.

ἑπτὰ δ' ἔπειτα πυρᾶν νεκρῶν τελεσθέντων Ταλαϊονίδας
εἶπεν ἐν Θήβαισι τοιοῦτόν τι ἔπος· Ποθέω στρατιᾶς
ὀφθαλμὸν ἐμᾶς,
ἀμφότερον μάντιν τ' ἀγαθὸν καὶ δουρὶ μάρνασθαι. τὸ καὶ
ἀνδρὶ κώμου δεσπότᾳ πάρεστι Συρακοσίῳ.
οὔτε δύσηρις ἐὼν οὔτ' ὦν φιλόνεικος ἄγαν,
καὶ μέγαν ὅρκον ὀμόσσαις τοῦτό γέ οἱ σαφέως
μαρτυρήσω· μελίφθογγοι δ' ἐπιτρέψοντι Μοῖσαι.

Στρ. β'.

Ὦ Φίντις, ἀλλὰ ζεῦξον ἤδη μοι σθένος ἡμιόνων,
ᾇ τάχος, ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ
βάσομεν ὄχον, ἵκωμαί τε πρὸς ἀνδρῶν
καὶ γένος· κεῖναι γὰρ ἐξ ἀλλᾶν ὁδὸν ἁγεμονεῦσαι
ταύταν ἐπίστανται, στεφάνους ἐν Ὀλυμπίᾳ
ἐπεὶ δέξαντο· χρὴ τοίνυν πύλας ὕμνων ἀναπεπτάμεν
αὐταῖς·

---

10 οὔτ' ἐν ἀνδρ. A — οὔτε ναυσὶ CEP 11 πονηθῇ C: πονaθῇ 12 ἑτοῖμος ABCN diorth.: ἕτοιμος 13 γλώσσας A: γλώττης Σ: γλώσ-σης — Οἰκλ. (diorth.[1]): Ὀϊκλ. — Ἀμφιάραον ACG (diorth.[1]): -άρεων M: -άρηον 14 ἐφθέγξατ' A — φαιδίμους EM (Schol. A) 15 Ταλαονίδας AEΔ (diorth.[1]) 16 Θήβαισι CN diorth.: Θήβησι A: Θήβαις γε PQ: Θη-βαις BDΓ — τοιοῦτό τι A 17 om. τ' AM — δορὶ A 18 πάρεστι] νῦν πάρστι diorth. — Συρακοσίῳ BDVΔ (diorth.): Συρακουσίων M: Συρα-κουσίῳ 19 οὔτε δύσηρις ἐὼν οὔτ' ὦν φιλόνεικος ἄγαν Ω et Ald. (margo diorth.[1]): οὐ φιλόνεικος ἐὼν οὔτ' ὦν (ὧν) δύσερίς τις ἄγαν diorth.[1]: οὐ δύσερίς τις ἐὼν οὔτ' ὦν φ. ἄ. diorth.[2]: οὔτε δύσερις ἐὼν οὔτ' ὦν (ὧν) φ. ἄ. 20 -σαις C: -σας (etiam P) 21 ἐπιτέρψοντι A: ἐπι-τρέψουσι V 23 ᾇ] ᾗ (ῇ, ἧ) P diorth. — τάχος] εἰς τάχος B 25 γένους (diorth.[1]) — ἀλλᾶν DGPΔ: ἄλλαν — ἡγεμ. CD: ἀγεμ. PQ 27 ἀναπε-πτάμεν A: ἀναπιτνάμεν

πρὸς Πιτάναν δὲ παρ' Εὐρώτα πόρον δεῖ σάμερον ἐλθεῖν
ἐν ὥρᾳ·

Ἀντ. β'.

ἅ τοι Ποσειδάωνι μιχθεῖσα Κρονίῳ λέγεται
παῖδα ἰόπλοκον Εὐάδναν τεκέμεν.
κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις·
κυρίῳ δ' ἐν μηνὶ πέμποισ' ἀμφιπόλους ἐκέλευσεν
ἥρωι πορσαίνειν δόμεν Εἰλατίδᾳ βρέφος,
ὃς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαισάνᾳ λάχε τ' Ἀλφεὸν
οἰκεῖν·
ἔνθα τραφεῖσ' ὑπ' Ἀπόλλωνι γλυκείας πρῶτον ἔψαυσ'
Ἀφροδίτας.

Ἐπ. β'.

οὐδ' ἔλαθ' Αἴπυτον ἐν παντὶ χρόνῳ κλέπτοισα θεοῖο
γόνον·
ἀλλ' ὁ μὲν Πυθῶνάδ', ἐν θυμῷ πιέσαις χόλον οὐ φατὸν
ὀξείᾳ μελέτᾳ,
ᾤχετ' ἰὼν μαντευσόμενος ταύτας περ' ἀτλάτου πάθας.
ἁ δὲ φοινικόκροκον ζώναν καταθηκαμένα
καλπιδά τ' ἀργυρέαν, λόχμαις ὑπὸ κυανέαις
τίκτε θεόφρονα κοῦρον. τᾷ μὲν ὁ Χρυσοκόμας
πραΰμητίν τ' Ἐλείθυιαν παρέστασέν τε Μοίρας·

Στρ. γ'.

ἦλθεν δ' ὑπὸ σπλάγχνων ὑπ' ὠδῖνός τ' ἐρατᾶς Ἴαμος
ἐς φάος αὐτίκα. τὸν μὲν κνιζομένα
λεῖπε χαμαί· δύο δὲ γλαυκῶπες αὐτὸν
δαιμόνων βουλαῖσιν ἐθρέψαντο δράκοντες ἀμεμφεῖ
ἰῷ μελισσᾶν καδόμενοι. βασιλεὺς δ' ἐπεὶ
πετραέσσας ἐλαύνων ἵκετ' ἐκ Πυθῶνος, ἅπαντας ἐν οἴκῳ

---

28 σάμερόν γ' diorth.[2]: σάμερόν μ' Böckh **29** Ποσειδάονι CFPVΣ (diorth.[1]) — Κρονίωνι A **30** παῖδα ἰόπλοκον Bergk: παῖδ' ἰοβόστρυχον diorth.: παῖδ' ἰοπλόκαμον — τεκέσθαι A infra **31** κρύψαι A infra, C infra, Γ: κρῦψαι C supra — παρθενία (marg. diorth.[1]) **33** βρέφος γ' diorth.[2] **34** λάχε τ' A diorth.: ἔλαχέ τ' **37** Πυθῶνάδ' Stephanus: Πυθῶναδ' ABC (D corr.) EP (diorth.): Πυθῶν' D?GVΓ: Πυθώναδ' M diorth. — πιέσαις Böckh: πιέσσαις C: πιέσσας ANC supra: πιέσας — μελέτη B diorth. **38** ταύτης A — περ' Γ diorth.: πέρ' BDGPV (diorth.): περ ACE — πάθης AN: πάθους BM: πάθη Σ **40** καλπίδα CDVΣ — λόχμαις ὑπὸ κυανέαις A: λόχμας ὑπὸ κυανέας **41** τῇ diorth.[2] **42** Ἐλείθυιαν παρ. PQ: Ἐλευθὼ συμπαρ. diorth.: Ἐλλείθυιαν παρ. **43** om. τ' AM

εἴρετο παῖδα, τὸν Εὐάδνα τέκοι· Φοίβου γὰρ αὐτὸν φᾶ γεγάκειν

Ἀντ. γ'.

πατρός, περὶ θνατῶν δ' ἔσεσθαι μάντιν ἐπιχθονίοις
ἔξοχον, οὐδέ ποτ' ἐκλείψειν γενεάν.
ὣς ἄρα μάνυε. τοὶ δ' οὔτ' ὦν ἀκοῦσαι
οὔτ' ἰδεῖν εὔχοντο πεμπταῖον γεγενναμένον. ἀλλ' ἐν
κέκρυπτο γὰρ σχοίνῳ βατείᾳ τ' ἐν ἀπειράτῳ,
ἴων ξανθαῖς τε καὶ παμπορφύροις ἀκτῖσι βεβρεγμένος ἁβρὸν
σῶμα· τὸ καὶ κατεφάμιξεν καλεῖσθαί νιν χρόνῳ σύμπαντι μάτηρ

Ἐπ. γ'.

τοῦτ' ὄνυμ' ἀθάνατον. τερπνᾶς δ' ἐπεὶ χρυσοστεφάνοιο λάβεν
καρπὸν Ἥβας, Ἀλφεῷ μέσσῳ καταβὰς ἐκάλεσσε Ποσειδᾶν' εὐρυβίαν,
ὃν πρόγονον, καὶ τοξοφόρον Δάλου θεοδμήτας σκοπόν,
αἰτέων λαοτρόφον τιμάν τιν' ἑᾷ κεφαλᾷ,
νυκτὸς ὑπαίθριος. ἀντεφθέγξατο δ' ἀρτιεπὴς
πατρία ὄσσα, μετάλλασέν τέ νιν· Ὄρσο, τέκος,
δεῦρο πάγκοινον ἐς χώραν ἴμεν φάμας ὄπισθεν.

Στρ. δ'.

ἵκοντο δ' ὑψηλοῖο πέτραν ἀλίβατον Κρονίου·
ἔνθα οἱ ὤπασε θησαυρὸν δίδυμον
μαντοσύνας, τόκα μὲν φωνὰν ἀκούειν
ψευδέων ἄγνωτον, εὖτ' ἂν δὲ θρασυμάχανος ἐλθὼν

---

50 πατρός γε. πέρι A — περὶ lemma E: πέρι — ἔσσεσθαι A 51 οὐδέπωτέκενλείψειν (οὐδέποτέκελείψει lemma) A 52 μήνυε C — οὐ τῶν A 53 γεγενναμένον A: γεγενημένον Ahrens — ἀλλ' ἐν κέκρυπτο Böckh: ἀλλ' ἐγκέκρυπτο BCDE diorth.: ἀλλὰ κέκρυπτο G. Hermann: ἀλλ' ἐκρύπτετο A: ἀλλ' ἐγκρύπτετο GPVΓ 54 σχίνῳ B — βατίᾳ diorth. — ἀπειράτῳ (lemma A) DEP diorth.: ἀπεράντῳ V: ἀπειράντῳ 55 ξανθαῖς τε A: ξανθαῖσι — βεβραγμένος Σ 56 νιν ACN: μιν 57 ὄνομ' ME 58 Ποσειδῶν' A diorth. 59 θεοδμήτας O (diorth.[2]): θεοδμάτου AN: θεοδμάτας 60 λαότροφον diorth.: utrumque margo A — ἑᾷ ante corr. A, CDEVΓ (diorth.[2]) 62 μετάλλασσέ(ν) τε A (lemma A ante corr.) prius lemma B: μεταλλάσαντι G. Hermann — νιν AB? (lemma BEV): μιν — τέκος lemma B: τέκνον 63 χώραν AM (lemma OV) diorth.: χῶρον 64 ἁλίβ. ABVΓ diorth.([1])[2] 67 ἄγνωτον AM: ἄγνωστον — θρασυμήχ. BC

Ἡρακλέης, σεμνὸν θάλος Ἀλκαΐδᾶν, πατρὶ
ἑορτάν τε κτίση πλειστόμβροτον τεθμόν τε μέγιστον
ἀέθλων,
Ζηνὸς ἐπ' ἀκροτάτῳ βωμῷ τότ' αὖ χρηστήριον θέσθαι
κέλευσεν.

Ἀντ. δ'.

ἐξ οὗ πολύκλειτον καθ' Ἕλλανας γένος Ἰαμιδᾶν·
ὄλβος ἅμ' ἕσπετο· τιμῶντες δ' ἀρετὰς
ἐς φανερὰν ὁδὸν ἔρχονται. τεκμαίρει
χρῆμ' ἕκαστον· μῶμος ἐξ ἄλλων κρέμαται φθονεόντων
τοῖς, οἷς ποτε πρώτοις περὶ δωδέκατον δρόμον
ἐλαυνόντεσσιν αἰδοία ποτιστάζει Χάρις εὐκλέα μορφάν.
εἰ δ' ἐτύμως ὑπὸ Κυλλάνας ὄροις, Ἀγησία, μάτρωες
ἄνδρες

Ἐπ. δ'.

ναιετάοντες ἐδώρησαν θεῶν κάρυκα λιταῖς θυσίαις
πολλὰ δὴ πολλαῖσιν Ἑρμᾶν εὐσεβέως, ὃς ἀγῶνας ἔχει
μοῖράν τ' ἀέθλων
Ἀρκαδίαν τ' εὐάνορα τιμᾷ· κεῖνος, ὦ παῖ Σωστράτου,
σὺν βαρυγδούπῳ πατρὶ κραίνει σέθεν εὐτυχίαν.
δόξαν ἔχω τιν' ἐπὶ γλώσσᾳ ἀκόνας λιγυρᾶς,
ἅ μ' ἐθέλοντα προσέρπει καλλιρόοισι πνοαῖς·
ματρομάτωρ ἐμὰ Στυμφαλίς, εὐανθὴς Μετώπα,

Στρ. ε'.

πλάξιππον ἃ Θήβαν ἔτικτεν, τᾶς ἐρατεινὸν ὕδωρ
πίομαι, ἀνδράσιν αἰχματαῖσι πλέκων
ποικίλον ὕμνον. ὄτρυνον νῦν ἑταίρους,

---

**68** πατρὶ G. Hermann: πατρί δ' A: πατρίς θ' diorth.: πατρί θ' **69** κτίσει B: κτίσοι EF — πλειστόβροτον B — τε μέγιστόν τε B **70** αὖ A diorth.: αὐτῷ — κέλευσέ νιν A **72** ὄλβος ἅμ' AC diorth.[1]: ὄλβος δ' ἅμ' (etiam lemma A) **74** μῶμος ἐξ Böckh: μῶμος δ' ἐξ Schol.: μῶμος ἐκ δ' **75** πρώτοις A (C post corr.) DEVΓ: πρῶτον B (C ante corr.) MP diorth. — δρόμον γ' diorth.[2] **76** -στάζει ABEM diorth.: -στάξει CDFPV: -στάξῃ (Γ supra) Bergk — εὐκλεᾶ ABDEM — μορφήν ANO: μορφά C **77** ὅροις ABCEΓ: ὄροις DFMPV diorth.: ὄρος Rom. et ώ — ἐδώρησαν A (B post corr.) diorth.: δώρησαν **80** τιμὰν A — παῖς A **82** ἔχων (lemma A ante corr.) ON (etiam in Schol.) — γλώσσῃ; A: γλώσσαν MΣ: γλώσσας (diorth.[1]) — λιγύρας ἀκόνας Bergk **83** προσέλκει diorth. — καλλιρρόοισι AC — πνοιαῖς CNO: ῥοαῖς Schol.? **86** πίνομαι Meineke — αἰχμηταῖσι DQ diorth..

Αἰνέα, πρῶτον μὲν Ἥραν Παρθενίαν κελαδῆσαι,
γνῶναί τ' ἔπειτ', ἀρχαῖον ὄνειδος ἀλαθέσιν
λόγοις εἰ φεύγομεν, Βοιωτίαν ὗν. ἐσσὶ γὰρ ἄγγελος ὀρθός,
ἠϋκόμων σκυτάλα Μοισᾶν, γλυκὺς κρατὴρ ἀγαφθέγκτων
ἀοιδᾶν·

Ἀντ. εʹ.

εἰπὸν δὲ μεμνᾶσθαι Συρακοσσᾶν τε καὶ Ὀρτυγίας·
τὰν Ἱέρων καθαρῷ σκάπτῳ διέπων,
ἄρτια μηδόμενος, φοινικόπεζαν
ἀμφέπει Δάματρα, λευκίππου τε θυγατρὸς ἑορτάν,
καὶ Ζηνὸς Αἰτναίου κράτος. ἁδύλογοι δέ νιν
λύραι μολπαί τε γινώσκοντι. μὴ θραύσοι χρόνος ὄλβον
ἐφέρπων.
σὺν δὲ φιλοφροσύναις εὐηράτοις Ἁγησία δέξαιτο κῶμον

Ἐπ. εʹ.

οἴκοθεν οἴκαδ' ἀπὸ Στυμφαλίων τειχέων ποτινισόμενον,
ματέρ' εὐμήλοιο λείποντ' Ἀρκαδίας. ἀγαθαὶ δὲ πέλοντ'
ἐν χειμερίᾳ
νυκτὶ θοᾶς ἐκ ναὸς ἀπεσκίμφθαι δύ' ἄγκυραι. θεὸς
τῶνδε κείνων τε κλυτὰν αἶσαν παρέχοι φιλέων.
δέσποτα ποντόμεδον, εὐθὺν δὲ πλόον καμάτων
ἐκτὸς ἐόντα δίδοι, χρυσαλακάτοιο πόσις
Ἀμφιτρίτας, ἐμῶν δ' ὕμνων ἄεξ' εὐτερπὲς ἄνθος.

---

88 Αἰνέας lemma A — Ἥρᾳ Παρθενίᾳ (B corr.) 90 ἐκφεύγομεν apud Galenum — σῦν apud Galenum 91 κρητὴρ QU diorth. — ἀφθόγγων A: ἀγαφθέκτων CDEΣ 92 εἰπὸν Stephanus: εἶπον — μεμνῆσθαι CNO — -κουσᾶν AMNOΓ diorth.: -κουσῶν in laterculo Syracusis reperto 93 σκάπτρῳ BDFMΓ (diorth.) 95 Δάμητρα AB?C?: Δάματραν NP diorth.[2] — ἑορτὰς A 96 ἀδύλ. FPQU — νιν ACNOΣ: μιν 97 μολπαί] πολλαί C — γιγν. Böckh — θραύσαι G. Hermann: θράσσοι Böckh 99 -νισσόμ. UΓ?: -νεισόμ. M supra: -νεισσόμ. diorth. 100 λείποντ' diorth.: λιπόντ' — πέλονταί γ' ἐν A: πέλονταί τ' ἐν C: πέλονται (om. ἐν) EFM 101 ἀπεσκῆφθαι A: ἀπεσκίφθαι MV (diorth.[2]) 102 τῶνδε κείνων Böckh: τῶνδ' ἐκείνων (etiam P) — παρέχει V: utrumque CNO 103 ποντομέδων Böckh — εὔθυνε πλόον A 104 ἐκτὸς δ' A 105 om. δ' A — ἄεξ'] δέξ' AMNO

wellloved, lovely

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Ζ'.

# ΔΙΑΓΟΡᾼ ΡΟΔΙῼ

### ΠΥΚΤῌ.

---

### Strophae.

⏑ ⏑ –́ – –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ ⏓
⏒ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏑ ⏑ –́ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓

### Epodi.

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏕ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏕ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏑ ⏑ –́ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏓

*Στρ. α'.*

*Φιάλαν ὡς εἴ τις ἀφνεᾶς ἀπὸ χειρὸς ἑλὼν*
*ἔνδον ἀμπέλου καχλάζοισαν δρόσῳ*
*δωρήσεται*
*νεανίᾳ γαμβρῷ προπίνων οἴκοθεν οἴκαδε, πάγχρυσον κο-*
*ρυφὰν κτεάνων,*
*συμποσίῳ τε χάριν, κᾶδός τε τιμάσαις ἐόν, ἐν δὲ φίλων*
*παρεόντων θῆκέ νιν ζαλωτὸν ὁμόφρονος εὐνᾶς·*

*Ἀντ. α'.*

*καὶ ἐγὼ νέκταρ χυτόν, Μοισᾶν δόσιν, ἀεθλοφόροις*
*ἀνδράσιν πέμπων, γλυκὺν καρπὸν φρενός,*
*ἱλάσκομαι,*

---

1 *ἀφνεᾶς* A: *ἀφνειᾶς* 2 *ἀμπέλου ἔνδον* diorth.² — *καγχλ.* A — *δρόσον* in Scholio Hermogenis 5 *συμποσίῳ* Mommsen (cum Schol. B?): *συμποσίω* A infra: *συμποσίου* (etiam A supra) — *-σαις* C ante corr., D, O ante corr., Q: *-σας* — *ἑὸν* CΓ 6 *νιν* ACNO: *μιν* 7 *ἀεθλ.* ACNO: *ἀθλ.* 8 *φρενός γ'* diorth.²

*Ὀλυμπίᾳ Πυθοῖ τε νικώντεσσιν. ὁ δ' ὄλβιος, ὃν φᾶμαι κατέχοντ' ἀγαθαί.*
*ἄλλοτε δ' ἄλλον ἐποπτεύει Χάρις ζωθάλμιος ἀδυμελεῖ*
*θαμὰ μὲν φόρμιγγι παμφώνοισί τ' ἐν ἔντεσιν αὐλῶν.*

*Ἐπ. α'.*

*καί νυν ὑπ' ἀμφοτέρων σὺν Διαγόρᾳ κατέβαν τὰν ποντίαν*
*ὑμνέων, παῖδ' Ἀφροδίτας Ἀελίοιό τε νύμφαν, Ῥόδον,*
*εὐθυμάχαν ὄφρα πελώριον ἄνδρα παρ' Ἀλφεῷ στεφανωσάμενον*
*αἰνέσω πυγμᾶς ἄποινα*
*καὶ παρὰ Κασταλίᾳ, πατέρα τε Δαμάγητον ἀδόντα Δίκᾳ,*
*Ἀσίας εὐρυχόρου τρίπολιν νᾶσον πέλας*
*ἐμβόλῳ ναίοντας Ἀργείᾳ σὺν αἰχμᾷ.*

*Στρ. β'.*

*ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς ἀπὸ Τλαπολέμου*
*ξυνὸν ἀγγέλλων διορθῶσαι λόγον,*
*Ἡρακλέος*
*εὐρυσθενεῖ γέννᾳ. τὸ μὲν γὰρ πατρόθεν ἐκ Διὸς εὔχονται· τὸ δ' Ἀμυντορίδαι*
*ματρόθεν Ἀστυδαμείας. ἀμφὶ δ' ἀνθρώπων φρασὶν ἀμπλακίαι*
*ἀναρίθμητοι κρέμανται· τοῦτο δ' ἀμάχανον εὑρεῖν,*

*Ἀντ. β'.*

*ὅ τι νῦν ἐν καὶ τελευτᾷ φέρτατον ἀνδρὶ τυχεῖν.*
*καὶ γὰρ Ἀλκμήνας κασίγνητον νόθον*
*σκάπτῳ θένων*

---

**10** *Οὐλ.* diorth.[1]: *Ὀλ.* **11** *ἄλλοτ' ἄλλον* A — *ζωοφθάλμιος* CNO **12** *θαμᾶ* AG: *ἅμα* lemma A: *θ' ἅμα* diorth. — *παμφώνων τε* lemma A — *ἐν* ACNO (V post corr.) diorth.: om. *ἐν* **13** *νυν* diorth.: *νῦν* **14** *ποντίας . . . Ἀμφιτρίτας* v. l. apud Schol. — *τὰν ποντίαν ὑμνέων, παῖδ' Ἀφροδίτας Ἀελίοιό τε νύμφαν, Ῥόδον* Didymus?: *τὰν ποντίαν ὑμνέων, παῖδ' Ἀφροδίτας Ἀελίοιό τε, νύμφαν Ῥόδον* Asclepiades? **15** *εὐθύμαχον* A — *Ἀλφεῷ* A: *Ἀλφεὸν* M: *Ἀλφειῷ* **17** *ἀδόντα* CDKLP diorth.[2]: *ἁδόντα* diorth.[1]: *ἀδῶντα* Γ: *ἄδοντα* **18** *-χόρου* BG diorth.: *-χόροιο* PQ: *-χώροιο* CN: *-χώρου* **19** *ἔμβολον* Theotimus apud Schol.: *ἐμβόλων* N: *Ἐμβόλῳ* (*Ἐμβόλου*) v. l. apud Schol.: *ἐμβόλῳ* et *ἐμβόλω* (supra *ου*) — *Ἀργείων* (lemma EF) U — *αἰχμῇ* ADQΔ **20** *τοῖσιν*] *τοι νῦν* C: *τοίνυν* ante corr. **21** *λόγον γ'* Pauw **24** *φρεσὶν* CGNOPQV diorth. **25** *ἀναρίθματοι* ΞΨ (diorth.[2]) — *ἀμήχανον* ALM **26** *ἐν καὶ*] *ἐν* (om. *καὶ*) A: *καὶ ἐν* Rom.: , *εἰ κἂν* G. Hermann — *φέρτερον* A **27** *Ἀλκμήνης* CM (lemma B) **28** *σκάπτρῳ* diorth.[1] — *θενὼν* Buttmann — *ἔκταν' ἐν* ACNΓ (diorth.): *ἔκτανε(ν)*

surround encompass

with all tones, many- or full-toned.

-out distinctive mark; bafflingly

σκληρᾶς ἐλαίας ἔκταν' ἐν Τίρυνϑι Λικύμνιον ἐλϑόντ' ἐκ ϑαλάμων Μιδέας
τᾶςδέ ποτε χϑονὸς οἰκιστὴρ χολωϑείς. αἱ δὲ φρενῶν ταραχαὶ
παρέπλαγξαν καὶ σοφόν. μαντεύσατο δ' ἐς ϑεὸν ἐλϑών.

Ἐπ. β'.

τῷ μὲν ὁ Χρυσοκόμας εὐώδεος ἐξ ἀδύτου ναῶν πλόον
εἶπε Λερναίας ἀπ' ἀκτᾶς ὄρσαι ἐς ἀμφιϑάλασσον νομόν,
ἔνϑα ποτὲ βρέχε ϑεῶν βασιλεὺς ὁ μέγας χρυσέαις νιφάδεσσι πόλιν,
ἁνίχ' Ἀφαίστου τέχναισιν
χαλκελάτῳ πελέκει πατέρος Ἀϑηναία κορυφὰν κατ' ἄκραν
ἀνορούσαισ' ἀλάλαξεν ὑπερμάκει βοᾷ·
Οὐρανὸς δ' ἔφριξέ νιν καὶ Γαῖα μάτηρ.

Στρ. γ'.

τότε καὶ φαυσίμβροτος δαίμων Ὑπεριονίδας
μέλλον ἐντείλεν φυλάξασϑαι χρέος
παισὶν φίλοις,
ὡς ἂν ϑεᾷ πρῶτοι κτίσαιεν βωμὸν ἐναργέα, καὶ σεμνὰν ϑυσίαν ϑέμενοι
πατρί τε ϑυμὸν ἰάναιεν κόρᾳ τ' ἐγχειβρόμῳ. ἐν δ' ἀρετὰν
ἔβαλεν καὶ χάρματ' ἀνϑρώποισι Προμαϑέος αἰδώς·

Ἀντ. γ'.

ἐπὶ μὰν βαίνει τε καὶ λάϑας ἀτέκμαρτα νέφος,
καὶ παρέλκει πραγμάτων ὀρϑὰν ὁδὸν
ἔξω φρενῶν.
καὶ τοὶ γὰρ αἰϑοίσας ἔχοντες σπέρμ' ἀνέβαν φλογὸς οὔ· τεῦξαν δ' ἀπύροις ἱεροῖς

---

**31** -πλαξαν DΣ diorth. **33** ὄρσαι ἐς et ἆραι ἐς Mommsen: εὔϑυν' εἰς A: εὔϑυν' ἐς CEN: εὐϑῦν' ἐς BΓ (Schol. B): εὐϑύν' ἐς GMP: εὔϑύν' ἐς DFK: εὐϑὺν ἐς ΧΞΨ: στέλλε ἐς diorth.: στέλλεν ἐς Rom. et ω: στέλλου ἐς gl. diorth.[2] **34** χρυσέαις (lemma EF) diorth.[2]: χρυσαῖς diorth.[1]: χρυσέαισι **36** χαλκελάτα lemma A — Ἀϑαναία diorth. **37** -σαισ' C? D? O?: -σασ' **39** φαυσίβροτος lemma E **40** ἐνέτειλε A: ἐνετείλατο lemma A **42** ϑεῷ M? P — πρῶτον C: πρώτα Hecker — ϑέμεναι lemma B: ϑεμέναι O **43** ἰάναι BDHV: ἰάναι ἐν KL — ἐγχεϊβρ. ABQV **44** Προμ. Morell. Dissen: προμ. — -ϑέος CDEVΓ diorth.: -ϑέως ABPQ αἰδῶς lemma A **45** ἀτέκμαρτα E. Schmid: ἀτέκμαρτον **46** ὁδόν γ' diorth.[2] **48** αἰϑοίσας Böckh: αἰϑούσσας EGV: αἰϑούσας

ἄλσος ἐν ἀκροπόλει. κείνοισι μὲν ξανθὰν ἀγαγὼν νεφέλαν
πολὺν ὗσε χρυσόν· αὐτὰ δέ σφισιν ὤπασε τέχναν

Ἐπ. γ'.

πᾶσαν ἐπιχθονίων Γλαυκῶπις ἀριστοπόνοις χερσὶ κρατεῖν.
ἔργα δὲ ζωοῖσιν ἑρπόντεσσί θ' ὁμοῖα κέλευθοι φέρον.
ἦν δὲ κλέος βαθύ. δαέντι δὲ καὶ σοφία μείζων ἄδολος
τελέθει.
φαντὶ δ' ἀνθρώπων παλαιαὶ
ῥήσιες, οὔπω ὅτε χθόνα δατέοντο Ζεύς τε καὶ ἀθάνατοι,
φανερὰν ἐν πελάγει Ῥόδον ἔμμεν ποντίῳ,
ἁλμυροῖς δ' ἐν βένθεσιν νᾶσον κεκρύφθαι.

Στρ. δ'.

ἀπεόντος δ' οὔτις ἔνδειξεν λάχος Ἀελίου·
καί ῥά νιν χώρας ἀκλάρωτον λίπον,
ἁγνὸν θεόν.
μνασθέντι δὲ Ζεὺς ἄμπαλον μέλλεν θέμεν. ἀλλά νιν οὐκ
εἴασεν· ἐπεὶ πολιᾶς
εἶπέ τιν' αὐτὸς ὁρᾶν ἔνδον θαλάσσας αὐξομέναν πεδόθεν
πολύβοσκον γαῖαν ἀνθρώποισι καὶ εὔφρονα μήλοις.

Ἀντ. δ'.

ἐκέλευσεν δ' αὐτίκα χρυσάμπυκα μὲν Λάχεσιν
χεῖρας ἀντεῖναι, θεῶν δ' ὅρκον μέγαν
μὴ παρφάμεν,
ἀλλὰ Κρόνου σὺν παιδὶ νεῦσαι, φαεννὸν ἐς αἰθέρα νιν
πεμφθεῖσαν ἑᾷ κεφαλᾷ
ἐξοπίσω μέρος ἔσσεσθαι. τελεύταθεν δὲ λόγων κορυφαὶ
ἐν ἀλαθείᾳ πετοῖσαι. βλάστε μὲν ἐξ ἁλὸς ὑγρᾶς

Ἐπ. δ'.

νᾶσος, ἔχει τέ νιν ὀξειᾶν ὁ γενέθλιος ἀκτίνων πατήρ,

---

**49** κείνοισι μὲν ξ. ἀ. ν. diorth.[2]: κείνοις ὁ μὲν ξ. ἀ. ν. Mingarelli: κείνοισι μὲν ξ. ἀ. ν. Ζεὺς **50** σφιν AE — τέχναν πᾶσαν AMPQ diorth. Schol.: τεχνᾶν πασᾶν BΓ: utrumque DEFH **52** ὅμοια A **56** ἔμμεναι AMN **57** -ροῖς A diorth.: -ροῖσι (etiam P) **59** νιν Mommsen: μιν — λεῖπον A: λίπονθ' diorth.[2] **61** ἄμ πάλον Böckh — νιν A: μιν **62** θαλάσσης ABPQVΣ diorth.[1] **64** ἐκέλευσε(ν) A diorth.: κέλευσε(ν) **66** παρφέμεν NO (lemma A) **67** φανὸν G. Hermann: φαενὸν (lemma B) diorth.[1]: φανερὸν diorth.[2]? — νιν CN?: μιν — ἑᾷ FKMVΓ **68** μέρος A (B supra) C: γέρας — ἔσσεσθαι diorth.[1]: ἔσεσθαι — τελεύταθεν B supra (lemma BCE): τελεύτασαν — λόγου V **69** ἀλαθ. ACDEVΣ (diorth.): ἀληθ. — πεσοῖσαι AN **70** νιν Mommsen: μιν

speak gently to. deceitfully. insincerely.

*πῦρ πνεόντων ἀρχὸς ἵππων· ἔνθα Ῥόδῳ ποτὲ μιχθεὶς τέκεν*
*ἑπτὰ σοφώτατα νοήματ' ἐπὶ προτέρων ἀνδρῶν παραδε-*
*ξαμένους*
*παῖδας, ὧν εἷς μὲν Κάμειρον*
*πρεσβύτατόν τε Ἰάλυσον ἔτεκεν, Λίνδον τ'. ἀπάτερθε δ'*
*ἔχον,*
*διὰ γαῖαν τρίχα δασσάμενοι πατρωΐαν,*
*ἀστέων μοῖραν, κέκληνται δέ σφιν ἕδραι.*

Στρ. ε'.

*τόθι λύτρον συμφορᾶς οἰκτρᾶς γλυκὺ Τλαπολέμῳ*
*ἵσταται Τιρυνθίων ἀρχαγέτᾳ,*
*ὥσπερ θεοῖς,*
*μήλων τε κνισάεσσα πομπὰ καὶ κρίσις ἀμφ' ἀέθλοις.*
*τῶν ἄνθεσι Διαγόρας*
*ἐστεφανώσατο δίς, κλεινᾷ τ' ἐν Ἰσθμῷ τετράκις εὐτυχέων,*
*Νεμέᾳ τ' ἄλλαν ἐπ' ἄλλᾳ, καὶ κρανααῖς ἐν Ἀθάναις.*

Ἀντ. ε'.

*ὅ τ' ἐν Ἄργει χαλκὸς ἔγνω νιν, τά τ' ἐν Ἀρκαδίᾳ*
*ἔργα, καὶ Θήβαις, ἀγῶνές τ' ἔννομοι*
*Βοιωτίων,*
*Πέλλανά τ'· Αἰγίνᾳ τε νικῶνθ' ἑξάκις· ἐν Μεγάροισίν*
*τ' οὐχ ἕτερον λιθίνα*
*ψᾶφος ἔχει λόγον. ἀλλ', ὦ Ζεῦ πάτερ, νώτοισιν Ἀτα-*
*βυρίου*
*μεδέων, τίμα μὲν ὕμνου τεθμὸν Ὀλυμπιονίκαν,*

Ἐπ. ε'.

*ἄνδρα τε πὺξ ἀρετὰν εὑρόντα, δίδοι τέ οἱ αἰδοίαν χάριν*

---

**73** om. *μὲν* B — *Κάμιρον* (in Schol. A): *Κάβειρον* (in Schol. B) **74** *πρεσβύτατος* Schol.?: *πρεσβύτερον* NX — *ἔτεκεν* diorth.: *τέκε(ν)* — *τ'*] *δ'* COX — *ἔχον* A diorth.: *ἔχοντα* B: *ἔχοντι* **75** *γᾶν* A — *τριχθὰ* AN — *πατρωΐαν* diorth.: *πατρώαν* **77** *Τληπ.* AN **79** *θεοῖς* A (Paraphr. B): *θεῷ* **80** *μάλων* A Ald. — *κνισά.* AFGPQVΓ: *κνισσά.* **81** *ἐστεφάνωτο* NV: *ταυτᾶ ἐστεφάνωτο* G: *καὶ στεφάνω* Γ — *κλεινῷ* AZ — *τ' ἐν*] *τοι ἐν* C **83** *Ἄργεϊ* ACDV — *νιν* ANO (Schol. U): *μιν* **85** *Βοιωτίων* A: *Βοιωτίας* C: *Βοιώτιοι* diorth.: *Βοιωτῶν* **86** *Πέλλανά τ' Αἰγίνᾳ τε* C: *Πελλάνᾳ τ' Αἰγίνᾳ τε* BEFGP: *Πελλάνα τ' Αἴγινά τε* ADKLMOQVΓ: *Πελλήναι τ' Αἴγιναί τε* N: *Αἴγινα Πελλάνα τε* diorth.: *Πέλλανά τ'· Οἰνώνα δὲ* Bergk — *τ'*] *δ'* A — *ἑτέρου* A (Schol. B): *ἕτερον* (etiam Schol. A) **88** *Ὀλ.* cum antecedd. coni. BDFMP diorth.[2]: cum sqq. A diorth.[1]: utrumque in Schol. **89** *δίδου* A diorth.[1] — *οἱ*] *τοι* C infra

*καὶ ποτ᾽ ἀστῶν καὶ ποτὶ ξείνων. ἐπεὶ ὕβριος ἐχθρὰν ὁδὸν*
*εὐθυπορεῖ, σάφα δαεὶς ἅ τε οἱ πατέρων ὀρθαὶ φρένες*
*ἐξ ἀγαθῶν*
*ἔχρεον. μὴ κρύπτε κοινὸν*
*σπέρμ᾽ ἀπὸ Καλλιάνακτος· Ἐρατιδᾶν τοι σὺν χαρίτεσσιν*
*ἔχει*
*θαλίας καὶ πόλις· ἐν δὲ μιᾷ μοίρᾳ χρόνου*
*ἄλλοτ᾽ ἀλλοῖαι διαιθύσσοισιν αὖραι.*

---

**92** *ἔχρεον* A: *ἔχραον* **93** *Ἐρατιδᾶν* diorth.: *Ἐραστεϊδᾶν* A: *Ἐραστειδᾶν* — *τοι*] *τὲ* A **93** sq. *θαλίας ἔχει καὶ* A **94** *μιᾷ μοίρᾳ* AC diorth.: *μοίρᾳ μιᾷ* **95** *διαιθύσσοισιν* Böckh: *διαιθύσσουσιν*

---

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Η'.

# ΑΛΚΙΜΕΔΟΝΤΙ ΑΙΓΙΝΗΤΗι

### ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗι.

---

### Strophae.

–́ ◡ – – –́ ◡ ◡ – ◡ ◡ – – –́ ◡ ⏓
– –́ ◡ – – –́ ◡ ◡ – ◡ ◡ – ⏒
–́ ◡ – ⏒ –́ ◡ ◡ – ◡ ◡ – – –́ ◡ ◡ – ◡ ◡ – ⏒
–́ ◡ ◡ – ◡ ◡ – – –́ ◡ ⏓
–́ ◡ ◡ – ◡ ◡ ⏓
◡ ◡ –́ – –́ ◡ ⏓
–́ ◡ – – –́ ◡ ⏓

### Epodi.

– –́ ◡ ◡ – ◡ ◡ – – –́ ◡ ⏓
–́ ◡ ◡ – ◡ ◡ – – –́ ◡ ◡ – ◡ ◡ ⏓
–́ ◡ ◡ – ◡ ◡ – ⏒́ – ◡ ⏓
–́ ◡ ◡ – ◡ ◡ – ⏒

---

Inscr. *Ἀ.* [*Αλ.*] *π. π.* Heyne: *Ἀλ. παλαιστῇ, καὶ Τιμοσθένει παλαιστῇ, καὶ Μελησίᾳ παγκρατιαστῇ Νέμεα, Αἰγινήταις νικήσασιν Ὀλυμπιάδα* A: *Ἀλ. παιδὶ παλ. κ. Τ. κ. Μελ. παγκρ.* C: *Ἀλ. π. π. κ. Τ. παλ. Νέμεα κ. Μελ. ἀλείπτῃ παγκρατιαστῇ Νέμεα Αἰγινήταις νικήσ. Ὀλ.* NO: *Ἀλ. π. π.* [*Ὀλύμπια*] *κ. Τ. παλ.* [*ἀδελφῷ αὐτοῦ*] *Νεμέᾳ* (s. *Νέμεα*) [*καὶ*] *Μελ.* [*διδασκάλῳ*] *ἀλείπτῃ*

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ ⏓
–́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏒ –́ ⏑ – – –́ ⏑ ⏓

Στρ. α'.

Μᾶτερ ὦ χρυσοστεφάνων ἀέθλων Ὀλυμπία,
δέσποιν' ἀλαθείας· ἵνα μάντιες ἄνδρες
ἐμπύροις τεκμαιρόμενοι παραπειρῶνται Διὸς ἀργικεραύνου,
εἴ τιν' ἔχει λόγον ἀνθρώπων πέρι
μαιομένων μεγάλαν
ἀρετὰν θυμῷ λαβεῖν,
τῶν δὲ μόχθων ἀμπνοάν·

Ἀντ. α'.

ἄνεται δὲ πρὸς χάριν εὐσεβείας ἀνδρῶν λιταῖς.
ἀλλ' ὦ Πίσας εὔδενδρον ἐπ' Ἀλφεῷ ἄλσος,
τόνδε κῶμον καὶ στεφαναφορίαν δέξαι. μέγα τοι κλέος αἰεί,
ᾧτινι σὸν γέρας ἕσπετ' ἀγλαόν·
ἄλλα δ' ἐπ' ἄλλον ἔβαν
ἀγαθῶν, πολλαὶ δ' ὁδοὶ
σὺν θεοῖς εὐπραγίας.

Ἐπ. α'.

Τιμόσθενες, ὔμμε δ' ἐκλάρωσεν πότμος
Ζηνὶ γενέθλιος· ὃ σὲ μὲν ἐν Νεμέᾳ πρόφατον,
Ἀλκιμέδοντα δὲ πὰρ Κρόνου λόφῳ
θῆκεν Ὀλυμπιονίκαν.
ἦν δ' ἐσορᾶν καλός, ἔργῳ τ' οὐ κατὰ εἶδος ἐλέγχων
ἐξένεπε κρατέων πάλᾳ δολιχήρετμον Αἴγιναν πάτραν·
ἔνθα Σώτειρα Διὸς ξενίου

---

**1** χρυσεοστ. AV — Οὐλ. Γ diorth. **2** ἀληθ. BCGPΣ (diorth.) **3** ἀργειχ. BEVΓ **6** λαβεῖν] βαλεῖν in Schol. A **7** τῶνδε (post corr. C) PUVΣ (Schol. B?): τῶν τε s. ἔκ τε Schol. A? **8** ἄνεται δὲ] πληρέονται diorth. — εὐσεβίας Böckh: εὐσεβείαις v. l. apud Schol.?: εὐσεβέων Rom.: εὐσεβέων δ' diorth. — λιταί (diorth.) Asclepiades **9** Ἀλφειῷ NU — ἄλσος ἔχων A **11** ἕσπητ' GNPΣ diorth.: ἕσποιτ' D? F? Γ **12** ἐπ' ἄλλων AΣ **14** εὐπραξίας diorth. **15** ὔμμε ABGNΣ: ὔμμε — δ' ἐκλάρ. ACDMOP: δὲ κλάρ. — γενέθλιος Schol.? **16** ὃ σὲ μὲν ἐν ante corr. E?: ὅς σὲ μὲν ἐν (post corr. A) CDEΓ: σὲ μὲν ἐν (om. ὅς) (ante corr. A) BFPV: ὅς σ' ἐν μὲν et ὅς σὲ μὲν (om. ἐν) Böckh: ὃν μὲν ἐν diorth. — πρόφατον Σ diorth.: προφανῆ Schneidewin: πρόφαντον **17** παρὰ ADEV **18** ἔθηκεν A **19** κατ' ACVΓ **20** ἐξέννεπεν A: ἐξέννεπε (lemma A) BMNO — πάλῃ CD

*πάρεδρος ἀσκεῖται Θέμις,*

*ἔξοχ' ἀνθρώπων. ὅθι γὰρ πολὺ καὶ πολλᾷ ῥέποι,*
*ὀρθᾷ διακρῖναι φρενὶ μὴ παρὰ καιρόν,*
*δυσπαλές. τεθμὸς δέ τις ἀθανάτων καὶ τάνδ' ἁλιερκέα χώραν*
*παντοδαποῖσιν ὑπέστασε ξένοις*
*κίονα δαιμονίαν·*
*(ὁ δ' ἐπαντέλλων χρόνος*
*τοῦτο πράσσων μὴ κάμοι·)*

'Αντ. β'.

*Δωριεῖ λαῷ ταμιευομέναν ἐξ Αἰακοῦ·*
*τὸν παῖς ὁ Λατοῦς εὐρυμέδων τε Ποσειδᾶν,*
*Ἰλίῳ μέλλοντες ἐπὶ στέφανον τεῦξαι, καλέσαντο συνεργὸν*
*τείχεος, ἦν ὅτι νιν πεπρωμένον*
*ὀρνυμένων πολέμων*
*πτολιπόρθοις ἐν μάχαις*
*λάβρον ἀμπνεῦσαι καπνόν.*

'Επ. β'.

*γλαυκοὶ δὲ δράκοντες, ἐπεὶ κτίσθη, νέον*
*πύργον ἐσαλλόμενοι, τρεῖς, οἱ δύο μὲν κάπετον,*
*αὖθι δ' ἀτυζόμενω ψυχὰς βάλον·*
*εἷς δ' ἀνόρουσε βοάσαις.*
*ἔννεπε δ' ἀντίον ὁρμαίνων τέρας εὐθὺς Ἀπόλλων·*
*Πέργαμος ἀμφὶ τεαῖς, ἥρως, χερὸς ἐργασίαις ἁλίσκεται·*
*ὣς ἐμοὶ φάσμα λέγει Κρονίδα*
*πεμφθὲν βαρυγδούπου Διός·*

Στρ. γ'.

*οὐκ ἄτερ παίδων σέθεν, ἀλλ' ἅμα πρώτοις ἄρξεται*

---

**23** *ὅθι* (ex Schol. AB) Mommsen: *ὅ τι* et *ὅτι* — *πολλᾷ* B (diorth.): *πολλὰ* — *ῥέπει* P (infra in MQV) diorth.: *ῥέπον* in Schol.? **24** *διακρῖναι* A Schol.: *διακρίνειν* (etiam P) **26** *-ποῖσιν ὑπέστασε* AZ: *-ποῖσι ὑπέστασε* C: *-ποῖς ὑποέστασε* diorth.: *-ποῖς ὑπέστασε(ν)* **31** *Ποσειδῶν* diorth.[1] **32** *τεύξειν* diorth. **33** *μιν* A — *πεπρωμένη* lemma A **36** *λαῦρον* ACNQV **37** *νέον* cum sqq. coniung. AB (diorth.[2]): cum antecedd. CEFP: utrumque in Schol. **38** *πῦργον* DEF — *γε τρεῖς, οἱ μὲν δύο* A — *κάππετον* BCPΓ: *κάπτετον* (diorth.[2]) **39** *αὖθι*] *αὖ* B — *δ' ἀτυζόμενοι* AMO diorth. — *ψυχὰς*] *πνοὰς* diorth. **40** *ἀνόρουσε* B (Schol. B): *ὄρουσε* A (Schol. A): *ἐπόρουσε* O: *ἐσόρουσε* (etiam Schol.) — *-σαις* DQ (ante corr. V): *-σᾳς* G: *-σας* **42** *χειρὸς* AM **43** *ὡς* APΣ **44** *βαρυκτύπου* A **45** *πρώτοις* AC (lemma B) diorth.: *πρώτοισιν*

καὶ τετράτοις. ὥς ἄρα θεὸς σάφα εἴπαις
Ξάνθον ἤπειγεν καὶ Ἀμαζόνας εὐίππους καὶ ἐς Ἴστρον
ἐλαύνων.
Ὀρσοτρίαινα δ᾽ ἐπ᾽ Ἰσθμῷ ποντίᾳ
ἅρμα θοὸν τάνυεν,
ἀποπέμπων Αἰακὸν
δεῦρ᾽ ἀν᾽ ἵπποις χρυσέαις,

Ἀντ. γ'.
καὶ Κορίνθου δειράδ᾽ ἐποψόμενος δαιτακλυτάν.
τερπνὸν δ᾽ ἐν ἀνθρώποις ἴσον ἔσσεται οὐδέν.
εἰ δ᾽ ἐγὼ Μελησίᾳ ἐξ ἀγενείων κῦδος ἀνέδραμον ὕμνῳ,
μὴ βαλέτω με λίθῳ τραχεῖ φθόνος·
καὶ Νεμέᾳ γὰρ ὁμῶς
ἐρέω ταύταν χάριν,
τὰν δ᾽ ἔπειτ᾽ ἀνδρῶν μάχαν

Ἐπ. γ'.
ἐκ παγκρατίου. τὸ διδάξασθαι δέ τοι
εἰδότι ῥᾴτερον· ἄγνωμον δὲ τὸ μὴ προμαθεῖν·
κουφότεραι γὰρ ἀπειράτων φρένες.
κεῖνα δὲ κεῖνος ἂν εἴποι
ἔργα περαίτερον ἄλλων, τίς τρόπος ἄνδρα προβάσει
ἐξ ἱερῶν ἀέθλων μέλλοντα ποθεινοτάταν δόξαν φέρειν.
νῦν μὲν αὐτῷ γέρας Ἀλκιμέδων
νίκαν τριακοστὰν ἑλών·

Στρ. δ'.
ὃς τύχᾳ μὲν δαίμονος, ἀνορέας δ᾽ οὐκ ἀμπλακὼν,

---

46 ἆρα (diorth.[1]): ἄρα — et σάφα et σαφὲς A — εἴπαις C ante corr.: εἴπας G: εἴπας 47 Ξάνθον τε A: Ξάνθον δ᾽ (DO in litura) Γ — εὐίπποις καὶ Ἴστρον B 48 Ὀρσοτριαίνα B — ἐπ᾽ Ἰσθμὸν ποντίαν EFMO (Γ supra) diorth.: utrumque in Schol. 52 δειράδ᾽ ἐποψόμενος δαιτακλυτάν Mommsen e Schol.: δειράδ᾽, ἐποψόμενος δαῖτα κλυτάν 53 ἴσον Γ diorth.: ἶσον — ἔσσεται BDE: ἕπεται N: ἔσται Γ — οὐδ᾽ ἕν EF 54 Μελησίᾳ ABΔ (diorth.[1]): Μειλησία diorth.[2]: Μελησία — ὕμνων (A corr.) E: utrumque in Schol. A: ὑμνῶν Schol. B? 55 βαλλέτω AG 57 ταύτην Γ 58 μάχᾳ Dissen: μέτα Kayser — τὰν δ᾽ ἔπειτ᾽, ἀνδρῶν μάχαν, ἐκ distinxit Friederichs 59 ἐν παγκρατίῳ (supra in BGOP) (C ante corr.) (D infra) diorth. — δέ τοι] δέ τι (A infra) E (F supra): δέ τοι τί B: τοι (om. δέ) NPQV 60 ῥᾴτερον Böckh: ῥαΐτερον 62 δ᾽ ἐκεῖνος CDNPQVΓ diorth.([1])[2] 64 ἄθλων B — -τάτην BΓ 65 μὲν] μὲν γὰρ A 67 ἀμβλακὼν Q ante corr.

ἐν τέτρασιν παίδων ἀπεθήκατο γυίοις,
νόστον ἔχθιστον, καὶ ἀτιμοτέραν γλῶσσαν, καὶ ἐπίκρυφον οἶμον,
πατρὶ δὲ πατρὸς ἐνέπνευσεν μένος
γήραος ἀντίπαλον.
Ἀΐδα τοι λάθεται
ἄρμενα πράξαις ἀνήρ.

Ἀντ. δ΄.

ἀλλ᾽ ἐμὲ χρὴ μναμοσύναν ἀνεγείροντα φράσαι
χειρῶν ἄωτον Βλεψιάδαις ἐπίνικον,
ἕκτος οἷς ἤδη στέφανος περίκειται φυλλοφόρων ἀπ᾽ ἀγώνων.
ἔστι δὲ καί τι θανόντεσσιν μέρος
κἀννομον ἐρδόμενον·
κατακρύπτει δ᾽ οὐ κόνις
συγγόνων κεδνὰν χάριν.

Ἐπ. δ΄.

Ἑρμᾶ δὲ θυγατρὸς ἀκούσαις Ἰφίων
Ἀγγελίας, ἐνέποι κεν Καλλιμάχῳ λιπαρὸν
κόσμον Ὀλυμπίᾳ, ὅν σφι Ζεὺς γένει
ὤπασεν. ἐσλὰ δ᾽ ἐπ᾽ ἐσλοῖς
ἔργα θέλοι δόμεν, ὀξείας δὲ νόσους ἀπαλάλκοι.
εὔχομαι ἀμφὶ καλῶν μοίρᾳ Νέμεσιν διχόβουλον μὴ θέμεν·
ἀλλ᾽ ἀπήμαντον ἄγων βίοτον
αὐτούς τ᾽ ἀέξοι καὶ πόλιν.

---

69 *γλῶτταν* diorth.[2] — *οἶμον* CDFMPVΣ diorth.: *οἴμον* ABEGQΓ 73 *ἅρμενα* EFNQ: *ἅρμενα* ABCDPΣ — *-αις* C: *-ας* 74 *μνημ.* ADFMN 76 *φυλλοβόλων* Q 77 om. *δὲ* et *τι* B 78 *κἄννομον* (B corr.): *κἀννόμον* (B ante corr.) CDFΣ: *καννόμον* AEΓ (GV corr.): *κὰν νόμον* OPQ diorth.[2]: *κἂν νόμον* Ω diorth.[1] — *ἐρδ.* F diorth.: utrumque B — *ἐρδομένων* Er. Schmid 81 *-σαις* Heyne: *-σᾳς* G: *-σας* 82 *ἐνέποι* C? (G ante corr.) PVΣ diorth.: *ἐννέποι* 83 *ὅν*] *ὅ* (=*ὅτι*) gl. marg. E — *σφι* (A corr.) B: *σφιν* (etiam P) — *ὅν σφιν ὤπασε* (*ὤπασεν* diorth.[2]) *Ζεὺς γένει* diorth. 84 *ἐσθλὰ δ᾽ ἐπ᾽ ἐσθλοῖς* CDNOΓ diorth. 85 *ἔργ᾽ ἐθέλοι* Böckh — *δόμεν᾽* A

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Θʹ.

# ἘΦΑΡΜΟΣΤῼ ὈΠΟΥΝΤΙῼ

### ΠΑΛΑΙΣΤῌ.

---

**Strophae.**

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏓
⏒ –́ ⏑ ⏑ – ⏑ – ×́ ⏒ –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏒
×́ ⏒ –́ ⏑ ⏑ – ⏑ ×́ ⏒ –́ ⏑ ⏑ – ⏒
×́ – –́ ⏑ ⏑ – ⏑ ×́ – –́ ⏑ ⏑ – ⏒
×́ ⏒ –́ ⏑ ⏑ – ⏑ ×́ ⏒ –́ ⏑ ⏑ – ⏒
⏕́ ⏑ – ⏒ –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏒
×́ ⏒ –́ ⏑ ⏑ – ⏑ ⏓
⏒ –́ ⏑ ⏑ – ⏒
⏑ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏒
– –́ ⏑ ⏑ – –́ ⏑ – ⏕́ –́ ⏑ ⏑ – ⏒

**Epodi.**

⏑ –́ ⏑ – ⏑ – ⏑ –
⏑ ⏑ –́ ⏑ – ⏑ – ⏑ – ⏒
⏑ ⏑ –́ ⏑ ⏑ – ⏒
– –́ – –́ ⏑ ⏑ – ⏑ – –́ ⏒
–́ ⏑ ⏑ – –́ – –́ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ ⏓
– –́ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ –
– –́ ⏑ – ⏒ ×́ ⏑ –́ ⏑ ⏑ – ⏒ ×́ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏒

Στρ. αʹ.

*Τὸ μὲν Ἀρχιλόχου μέλος*
*φωνᾶεν Ὀλυμπίᾳ, καλλίνικος ὁ τριπλόος κεχλαδώς,*
*ἄρκεσε Κρόνιον παρ' ὄχθον ἁγεμονεῦσαι*
*κωμάζοντι φίλοις Ἐφαρμόστῳ σὺν ἑταίροις·*
*ἀλλὰ νῦν ἑκαταβόλων Μοισᾶν ἀπὸ τόξων*
*Δία τε φοινικοστερόπαν σεμνόν τ' ἐπίνειμαι*
*ἀκρωτήριον Ἄλιδος*
*τοιοῖσδε βέλεσσιν,*
*τὸ δή ποτε Λυδὸς ἥρως Πέλοψ*

---

2 *φωνᾷ ἐν* BM — *κεκλαδὼς* A 4 *φίλος* B 8 *βέλεσ(σ)ι(ν)* NOPV: *βελέεσσι* Q (v. l. E): *μέλεσ(σ)ι(ν)*

ἐξάρατο κάλλιστον ἕδνον Ἱπποδαμείας·

*Ἀντ. α΄.*

πτερόεντα δ᾽ ἵει γλυκὺν
Πυθῶνάδ᾽ ὀϊστόν· οὔτοι χαμαιπετέων λόγων ἐφάψεαι
ἀνδρὸς ἀμφὶ παλαίσμασιν φόρμιγγ᾽ ἐλελίζων
κλεινᾶς ἐξ Ὀπόεντος. αἰνήσαις ἓ καὶ υἱόν·
ἃν Θέμις θυγάτηρ τέ οἱ Σώτειρα λέλογχεν
μεγαλόδοξος Εὐνομία, θάλλει δ᾽ ἀρεταῖσιν
ἔν τε Κασταλίᾳ παρὰ
Ἀλφεοῦ τε ῥέεθρον·
ὅθεν στεφάνων ἄωτοι κλυτὰν
Λοκρῶν ἐπαείροντι ματέρ᾽ ἀγλαόδενδρον.

*Ἐπ. α΄.*

ἐγὼ δέ τοι φίλαν πόλιν
μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς,
καὶ ἀγάνορος ἵππου
θᾶσσον καὶ ναὸς ὑποπτέρου παντᾷ
ἀγγελίαν πέμψω ταύταν,
εἰ σύν τινι μοιριδίῳ παλάμᾳ
ἐξαίρετον Χαρίτων νέμομαι κᾶπον·
κεῖναι γὰρ ὤπασαν τὰ τέρπν᾽· ἀγαθοὶ δὲ καὶ σοφοὶ κατὰ
δαίμον᾽ ἄνδρες

*Στρ. β΄.*

ἐγένοντ᾽. ἐπεὶ ἀντίον
πῶς ἂν τριόδοντος Ἡρακλέης σκύταλον τίναξε χερσίν,
ἀνίχ᾽ ἀμφὶ Πύλον σταθεὶς ἤρειδε Ποσειδᾶν
ἤρειδέν τέ νιν ἀργυρέῳ τόξῳ πελεμίζων

---

10 ἐξήρατο M diorth.[1] — ἔδνον BCEP 12 *Πυθῶνάδ᾽* Stephanus: *Πυθώναδ᾽* diorth.[2]: *Πυθῶναδ᾽* — *-ψαι Σ*: *-ψᾳ Ω*: *-ψῃ* CPQ diorth. 14 *κλειτᾶς* A 16 *μεγαλόδωρος Γ* — *ἀρεταῖσιν ἔν τε* A infra (Schol. A): *ἀρεταῖσι σόν τε* in Schol. A?: *ἀρεταῖς ἶσόν τε* (A supra) BCDΣ: *ἀρεταῖς ἶσον τε Γ* diorth.[1]: *ἀρεταῖς ἴσσον τε* diorth.[2] 17 *Κασταλία* in Schol. A?: *Κασταλίας* in Schol. B? — *παρὰ* Böckh: *παρ᾽* 18 *Ἀλφειοῦ* ACNPQ diorth. 19 *κλειτὰν* (*ἂν*) NOPQ: *κλεινὰν Γ*: *κλυτᾶν* AZ 21 *δέ τι* B: *δὲ* (om. *τοι*) A 24 *παντᾷ* Z: *πάντα* AB diorth.: *πάντᾶ* D: *παντᾶ* 25 *πέμπω* Paraphr. B? 26 *παλάμη* diorth.[2] 28 *τέρπν᾽*. CDN diorth.[2]: *τερπνὰ* — *δαίμονα* BGM 29 *ἐγένοντ᾽* ACP: *ἐγένοντο* — *ἀντίον πῶς ἂν*] *ἔναντ᾽ ἂν πῶς* diorth.: *ἀντία πῶς ἂν* G. Hermann 30 *σκυτάλην* diorth.[2] 31 *ἡνίχ᾽* AG?: *ἀνίχ᾽* P? Q — *Πύλου* marg. B: utrumque D — *ἔρειδε* diorth.[2]: *ἤρεισε* D — *Ποσειδῶν* diorth. 32 *ἤρεισέ τε* OPQ: *ἤρειδεν δὲ* G. Hermann — *νιν* Mommsen: *μιν* — *ἀργυρῷ* diorth.[1] — *πελεμίζων* Thiersch: *πολεμίζων*

attain, 'make use of'. something not realised.

manly, heroic; splendid, stately, magnificent

P.9.33.

Φοῖβος, οὐδ᾽ Ἀΐδας ἀκινήταν ἔχε ῥάβδον,
βρότεα σώμαθ᾽ ᾇ κατάγει κοίλαν ἐς ἀγυιὰν
θνασκόντων; ἀπό μοι λόγον
τοῦτον, στόμα, ῥῖψον·
ἐπεὶ τό γε λοιδορῆσαι θεοὺς
ἐχθρὰ σοφία, καὶ τὸ καυχᾶσθαι παρὰ καιρὸν

Ἀντ. β'.

μανίαισιν ὑποκρέκει.
μὴ νῦν λαλάγει τὰ τοιαῦτ᾽· ἔα πόλεμον μάχαν τε πᾶσαν
χωρὶς ἀθανάτων· φέροις δὲ Πρωτογενείας
ἄστει γλῶσσαν, ἵν᾽ αἰολοβρόντα Διὸς αἴσᾳ
Πύρρα Δευκαλίων τε Παρνασοῦ καταβάντε
δόμον ἔθεντο πρῶτον, ἄτερ δ᾽ εὐνᾶς ὁμόδαμον
κτισσάσθαν λίθινον γόνον·
λαοὶ δ᾽ ὀνύμασθεν.
ἔγειρ᾽ ἐπέων σφιν οἶμον λιγύν,
αἴνει δὲ παλαιὸν μὲν οἶνον, ἄνθεα δ᾽ ὕμνων

Ἐπ. β'.

νεωτέρων. λέγοντι μὰν
χθόνα μὲν κατακλύσαι μέλαιναν
ὕδατος σθένος, ἀλλὰ
Ζηνὸς τέχναις ἀνάπωτιν ἐξαίφνας
ἄντλον ἑλεῖν. κείνων δ᾽ ἔσσαν
χαλκάσπιδες ὑμέτεροι πρόγονοι
ἀρχᾶθεν Ἰαπετιονίδος φύτλας
κοῦροι κορᾶν καὶ φερτάτων Κρονιδᾶν, ἐγχώριοι βασιλῆες
αἰεί,

---

**33** ῥᾶβδον A **34** ἐς ACDEFM Schol.: πρὸς **35** θνησκ. BN diorth.[1] — ἄπο A **36** ῥῖψον O **38** σοφίη lemma A **42** ἄστει diorth.: ἄστεϊ **43** Παρνασοῦ BDEΓ (diorth.[1]): Παρνασσοῦ ACGPVΣ diorth. — καταβάντες A: -τες ἐς O **44** δ᾽ ACZ diorth.: δὲ **45** κτισσάσθ. Mommsen: κτισάσθ. ANOQΓ: κτησάσθ. **46** Λαοὶ Schneidewin **46** ὀνύμασθεν Mommsen: ὠνύμασθεν C: ὀνόμασθεν **47** σφίσιν AC — οἶμον AEQΓ: οἶμον (lemma A) CDMPV diorth.: utrumque B: οὖρον Gedike **52** ἀνάπωτιν diorth.[2]: ἀνάπωσιν diorth.[1]: ἄμπωτιν — ἐξαίφνας AC: ἐξαίφνης (etiam P) **53** κἀκείνων δ᾽ A — ἔσσαν diorth.: ἔσαν **55** Ἰαπετιονίδος EF diorth.: Ἰαπετεονίδεις DQ: Ἰαπετεονίδος **56** κορᾶν καὶ φ. G. Hermann: κορῶν τε φ. τε diorth.[1]: κορᾶν τε φ. diorth.[2]: κουρᾶν καὶ φ. — κοῦροι κόραι τε φ. Λελέγων G. Hermann

Στρ. γ'.

πρὶν Ὀλύμπιος ἁγεμὼν
θύγατρ' ἀπὸ γᾶς Ἐπειῶν Ὀποεντος ἀναρπάσαις ἕκαλος
μίχθη Μαιναλίαισιν ἐν δειραῖς καὶ ἔνεικεν
Λοκρῷ, μὴ καθέλοι νιν αἰὼν, πότμον ἐφάψαις,
ὀρφανὸν γενεᾶς. ἔχεν δὲ σπέρμα μέγιστον
ἄλοχος, εὐφράνθη τε ἰδὼν ἥρως θετὸν υἱόν,
μάτρωος δ' ἐκάλεσσέ νιν
ἰσώνυμον ἔμμεν,
ὑπέρφυτον ἄνδρα μορφᾷ τε καὶ
ἔργοισι. πόλιν δ' ὤπασεν λαόν τε διαιτᾶν.

Ἀντ. γ'.

ἀφίκοντο δέ οἱ ξένοι,
ἔκ τ' Ἄργεος ἔκ τε Θηβᾶν, οἱ δ' Ἀρκάδες, οἱ δὲ καὶ
Πισᾶται·
υἱὸν δ' Ἄκτορος ἐξόχως τίμασεν ἐποίκων
Αἰγίνας τε Μενοίτιον· τοῦ παῖς ἅμ' Ἀτρείδαις
Τεύθραντος πεδίον μολὼν ἔστα σὺν Ἀχιλλεῖ
μόνος, ὅτ' ἀλκάεντας Δαναοὺς τρέψαις ἁλίαισιν
πρύμναις Τήλεφος ἔμβαλεν· ὥστ' ἔμφρονι δεῖξαι
μαθεῖν Πατρόκλου βιατὰν νόον.
ἐξ οὗ Θέτιος γοῦνος οὐλίῳ νιν ἐν Ἄρει

Ἐπ. γ'.

παραγορεῖτο μή ποτε
σφετέρας ἄτερθε ταξιοῦσθαι
δαμασιμβρότου αἰχμᾶς.
εἴην εὑρησιεπὴς ἀναγεῖσθαι

---

58 θυγατέρ' AC: τὰν παῖδ' diorth. — γῆς diorth.[1] — Ὀποῦντος diorth. — ἀναρπ.] ἁρπ. AV — -σαις (A lemma) B infra: -σας — ἕκηλος C 60 νιν C: μιν — -ψαις Heyne: -ψας 62 τ' A: δὲ Q (Paraphr. B) 63 νιν AC: μιν 64 ἰσσών. diorth.[2] 65 ὑπέρφυτον A (Schol. B): ὑπέρφαντον MOV: ὑπέρφατον 66 λεών diorth. 68 οἱ δ'] ἠδ' VMΞ: ἴδ' (ἰδ') diorth. — ἠδὲ καὶ VM — Πισᾶται diorth.: Πισάται 69 υἷα δ' diorth. 71 Ἀχιλεῖ AZ 72 ἀλκάεντας A: ἀλκᾶντας CF diorth.: ἀλκάντας et ἄλκαντας — -ψαις (B infra) D: -ψας 73 ἔβαλε A: ἔβαλεν MPV — νόον γ' diorth.[2] 76 γοῦνος οὐλίῳ Mingarelli: κοῦρος οὐλίῳ?: γ' οὐλίῳ γόνος G. Hermann: γόνος οὐλίῳ — νιν EFGMNOPQVΓ: μιν ABCD diorth. 78 -οῖσθαι NP: -εῖσθαι M: -οῦσθαι 79 -βρότας B infra 80 εὑρησ. BEF diorth.: εὑρεσ. — ,ἀναγεῖσθαί τε A: ἐναγεῖσθαι Γ

Forceful, mighty, strong

forward be eager.

πρόσφορος ἐν Μοισᾶν δίφρῳ·
τόλμα δὲ καὶ ἀμφιλαφὴς δύναμις
ἕσποιτ' αἰεί. ξενίᾳ δ' ἀρετᾷ τ' ἦλθον
τιμάορος Ἰσθμίαισι Λαμπρομάχου μίτραις, ὅτ' ἀμφότεροι κράτησαν

Στρ. δ'.

μίαν ἔργον ἀν' ἁμέραν.
ἄλλαι δὲ δύ' ἐν Κορίνθου πύλαις ἐγένοντ' ἔπειτα χάρμαι,
ταὶ δὲ καὶ Νεμέας Ἐφαρμόστῳ κατὰ κόλπον·
Ἄργει τ' ἔσχεθε κῦδος ἀνδρῶν, παῖς δ' ἐν Ἀθάναις.
οἷον ἐν Μαραθῶνι συλαθεὶς ἀγενείων
μένεν ἀγῶνα πρεσβυτέρων ἀμφ' ἀργυρίδεσσιν·
φῶτας δ' ὀξυρεπεῖ δόλῳ
ἀπτῶτι δαμάσσαις
διήρχετο κύκλον ὅσσᾳ βοᾷ,
ὡραῖος ἐὼν καὶ καλὸς κάλλιστά τε ῥέξαις.

Ἀντ. δ'.

τὰ δὲ Παρρασίῳ στρατῷ
θαυμαστὸς ἐὼν φάνη Ζηνὸς ἀμφὶ πανάγυριν Λυκαίου,
καὶ ψυχρᾶν ὁπότ' εὐδιανὸν φάρμακον αὐρᾶν
Πελλάνᾳ φέρε· σύνδικος δ' αὐτῷ Ἰολάου
τύμβος εἰναλία τ' Ἐλευσὶς ἀγλαΐαισιν.
τὸ δὲ φυᾷ κράτιστον ἅπαν· πολλοὶ δὲ διδακταῖς
ἀνθρώπων ἀρεταῖς κλέος
ὤρουσαν ἀρέσθαι.
ἄνευ δὲ θεοῦ σεσιγαμένον

---

**83** ἕσποιτ' αἰεί. A: ἕσποιτο. αἰεὶ Ald.: ἕποιτο. MNΓ: ἕσποιτο — ξενία A lemma: προξενίᾳ (ᾳ) (etiam A et (?) Schol.) — ἀρετὰ A supra (A lemma) — τ' ἦλθον diorth.: ἦλθον (om. τ')?: τ' ἤλυθον **84** μίτραισιν. ὅτ' A (Schol. A?): μίτραισιν. (ὅτ') Schol.? **85** ἔργου A **86** ἄλλα? — δύ' ἐν AC diorth.: δύο ἐν — χάρμα A (Schol. A) **87** τὰ δὲ (τάδε, τᾶδε?) A **89** οἷον ἐν AZ: οἷον [δ'] ἐν v. l. apud Schol.: οἷον δ' ἐν — etiam ἀγένειον A? **91** ὀξυρεπεῖ A diorth.: ὀξυρρεπεῖ et ὀξυερπεῖ **92** -άσσαις BD: -άσας et -άσσας **93** ὅσσᾳ (α) BEF diorth.: ὄσσᾳ C: ὄσσα ADG: ὅσα Γ **96** πανάγ. CDM diorth.[2]: πανήγ. **98** Πελλάνᾳ Z Schol.: Πελάνᾳ Q: Πελάνα P: Πελλάνα (etiam Schol. ad Nem.) — φέρε] παρέχει Schol. ad Nem. — αὐτῷ et αὐτοῦ B **99** εἰναλία diorth.: ἐναλία **100** ἀγλαΐαισι μέμικται AΓ **102** ἀρέσθαι A: αἱρεῖσθαι apud Aristidem: ἑλέσθαι diorth.: ἀνελέσθαι **103** ἄνευθε δὲ BCDE (diorth.[1]): ἄνευθε (om. δὲ) Böckh: ἄνευ δὲ (etiam lemma BCD) — -μένον γ' diorth.[2]

οὐ σκαιότερον χρῆμ᾽ ἕκαστον. ἐντὶ γὰρ ἄλλαι

Ἐπ. δ΄.

ὁδῶν ὁδοὶ περαίτεραι,
μία δ᾽ οὐχ ἅπαντας ἄμμε θρέψει
μελέτα· σοφίαι μὲν
αἰπειναί· τοῦτο δὲ προσφέρων ἄεθλον,
ὄρθιον ὤρυσαι θαρσέων,
τόνδ᾽ ἀνέρα δαιμονίᾳ γεγάμεν
εὔχειρα, δεξιόγυιον, ὁρῶντ᾽ ἀλκάν·
Αἰάντειόν τ᾽ ἐν δαιτὶ Ἰλιάδα νικῶν ἐπεστεφάνωσε βωμόν.

---

**106** ἄμε A?: ᾽ἀμέ(ρα) B: ἅμα A? CD: ἄμε E **108** προφ. lemma A et Paraphr. A — ἆθλον diorth. **109** ὄρουσαι A: ὤρουσαι BMN: ἄρυσαι Ahrens — θαρσῶν diorth. **110** ἄνδρα A — δαιμονίως diorth. **111** ὁρῶν τ᾽ olim G. Hermann **112** *Αἰάντεόν γε* (τε) *δαιτὶ ὃς τ᾽* diorth.: *Αἰάντεόν τ᾽ ἐν δαίθ᾽ ὃς* Böckh: *Αἰαντέων ἐν δαιτὶ* et *Αἶαν, τεόν τε δαιτὶ*, G. Hermann — *Ἰλιάδα* B (C infra) Ω diorth.[2]: *Οἰλιάδα* Er. Schmid: *Ὀϊλιάδα*.

---

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ Ι΄.

# ΑΓΗΣΙΔΑΜΩι ΛΟΚΡΩι ΕΠΙΖΕΦΥΡΙΩι

### ΠΑΙΔΙ ΠΥΚΤΗι.

---

**Strophae.**

⏑ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ – –́⏝ ⏑ ⏓
⏒ –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏓
⏒ –́ ⏑ – – –́⏝ ⏑ – – –́⏝ ⏑ – – –́⏝ ⏑ – x – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏑ –́ –́ ⏑ ⏝ – –́ ⏑ ⏓
⏒ –́ ⏑ – –́ ⏑ ⏓
⏑ –́ –́ ⏑ ⏑ – ⏑ ⏓

**Epodi.**

⏑ –́ ⏑ ⏝ –́ ⏑ ⏑ – – –́ ⏑ ⏝ ⏒
⏑ –́ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
– –́⏝ ⏑ ⏝ –́ ⏑ ⏝ – –́ ⏑ ⏑ – ⏝ – ⏑ ⏓
– –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – –́⏝ ⏑ – –

---

Inscr. ί] ιά Böckh — om. παιδὶ A

– –́ ⏑ ⏑ – ⏑ ⏓
– –́ ⏑ – ⏑ ⏓
⏑ ⏑ –́ ⏑ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓
⏑ –́ ⏑ ⏑ ⏒ – –́ ⏑ ⏒ –́ ⏑ – –́ ⏑ ⏑ ⏓

Στρ. α'.

Τὸν Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι
Ἀρχεστράτου παῖδα πόθι φρενὸς
ἐμᾶς γέγραπται. γλυκὺ γὰρ αὐτῷ μέλος ὀφείλων ἐπιλέ-
λαθ'. ὦ Μοῖσ', ἀλλὰ σὺ καὶ θυγάτηρ
Ἀλάθεια Διός, ὀρθᾷ χερὶ
ἐρύκετον ψευδέων
ἐνιπὰν ἀλιτόξενον.

Ἀντ. α'.

Ἕκαθεν γὰρ ἐπελθὼν ὁ μέλλων χρόνος
ἐμὸν καταίσχυνε βαθὺ χρέος.
ὅμως δὲ λῦσαι δυνατὸς ὀξεῖαν ἐπιμομφὰν τόκος ὀπαδέων.
νυν ψᾶφον ἑλισσομέναν
ὁπᾳ κῦμα κατακλύσσει ῥέον;
ὁπᾳ τε κοινὸν λόγον
φίλαν τίσομεν ἐς χάριν;

Ἐπ. α'.

νέμει γὰρ Ἀτρέκεια πόλις Λοκρῶν Ζεφυρίων,
μέλει τέ σφισι Καλλιόπα,
καὶ χάλκεος Ἄρης. τράπε δὲ Κύκνεια μάχα καὶ ὑπέρβιον
Ἡρακλέα· πύκτας δ' ἐν Ὀλυμπιάδι νικῶν
Ἴλᾳ φερέτω χάριν

---

**2** Ἀρχιστρ. A **3** ἀμᾶς Mingarelli **4** ὀρθὰ A supra — χειρὶ BEFΓ **8** ἁμὸν (ἀμὸν) diorth.: εἰμὸν M — καταίσχυνε Böckh: κατήσχυνε diorth.: καταισχύνει (etiam Schol.) — βαθὺ] βραχὺ A infra **9** δὲ] δέ γε A — ὀξεῖαν A: ὀξειᾶν? — ἐπὶ μομφὴν A: ἐπὶ μομφὰν EFM: ἐπιμομφᾶν? — τόκος ὀπαδέων (e vestigiis Schol. A) Mommsen: τόκος ὀνατὸν (= μεμπτὸν)?: τόκος ὀνάτωρ G. Hermann: ὁ τόκος ἀνδρῶν diorth.: γε τόκος θνατῶν CPZ: τόκος ἀπ' ἀνδρῶν Schol.?: γε τόκος ἀνδρῶν Kayser: τόκος θνατῶν **10** ὁπᾳ Mommsen: ὅπα (ὄπα) — -κλύσσει (diorth.[1]): -κλύσσειε C: -κλύσει **11** ὁπᾳ Mommsen: ὅπα (ὄπα) **13** ἀτρέκεια πόλις (A infra) E (F supra): ἁ τραχεῖα πόλις (A lemma) Didymus?: ἀτρεκείᾳ πόλις apud Schol. B?: ἀτρέκειαν πόλις LNP (etiam apud Schol. B): ἀτρέκεια πόλιν (A supra) BCDG (etiam apud Schol. AB) — Ζεφυρίων CDEPQ diorth.: Ἐπιζεφυρίων ABGVΓ **14** μέλει AEQΓ diorth.: μέλλει **15** Κύκνεια et Κυκνεῖα G. Hermann: Κυκνεία diorth.: Κυκνέα **16** Ὀλυμπιονικῶν A: Ὀλυμπία νικῶν BCPΣ **17** Ἴλᾳ BDGΓ diorth.: Ἰόλα

*Ἀγησίδαμος ὡς*
*Ἀχιλεῖ Πάτροκλος.*
*θήξαις δέ κε φύντ᾽ ἀρετᾷ ποτὶ*
*πελώριον ὁρμάσαι κλέος ἀνὴρ θεοῦ σὺν παλάμᾳ.*

*Στρ. β΄.*

*ἄπονον δ᾽ ἔλαβον χάρμα παῦροί τινες,*
*ἔργων πρὸ πάντων βιότῳ φάος.*
*ἀγῶνα δ᾽ ἐξαίρετον ἀεῖσαι θέμιτες ὦρσαν Διός, ὃν ἀρ-*
*χαίῳ σάματι πὰρ Πέλοπος,*
*βωμῶν ἑξάριθμον, ἐκτίσσατο,*
*ἐπεὶ Ποσειδάνιον*
*πέφνε Κτέατον ἀμύμονα,*

*Ἀντ. β΄.*

*πέφνε δ᾽ Εὔρυτον, ὡς Αὐγέαν λάτριον*
*ἀέκονθ᾽ ἑκὼν μισθὸν ὑπέρβιον*
*πράσσοιτο, λόχμαισι δὲ δοκεύσαις ὑπὸ Κλεωνᾶν δάμασε*
*καὶ κείνους Ἡρακλέης ἐφ᾽ ὁδῷ·*
*ὅτι πρόσθε ποτὲ Τιρύνθιον*
*ἔπερσαν αὐτῷ στρατὸν*
*μυχοῖς ἥμενον Ἄλιδος*

*Ἐπ. β΄.*

*Μολίονες ὑπερφίαλοι. καὶ μὰν ξεναπάτας*
*Ἐπειῶν βασιλεὺς ὄπιθεν*
*οὐ πολλὸν ἴδε πατρίδα πολυκτέανον ὑπὸ στερεῷ πυρὶ*
*πλαγαῖς τε σιδάρου βαθὺν εἰς ὀχετὸν ἄτας*
*ἵζοισαν ἑὰν πόλιν.*
*νεῖκος δὲ κρεσσόνων*

---

**20** -*αις* (AC infra) BD: -*ας* — *κε* BD (NQ corr.) diorth.: *καὶ* — *φύντ᾽* BD? (ante corr. NO) Schol.: *φῦντ᾽* ante corr. AG: *φῶτ᾽* — *ποτὲ* A **21** *ὤρμησε* P: *ὤρμασε* diorth.: *ὁρμᾶσαι* et *ὁρμάσαι* — *παλάμαις* AC **22** *π. τ.* ABC diorth.: *τ. π.* **23** *ἔργον Ω*: *ἐτέων* Schol.? **24** *θέμιστες* A — *σώματι* A infra (A lemma) DOVΓ: *σήματι* (A supra) LMP **25** *βωμῶν ἑξ. ἐκτ.* A (Schol.): *βωμῷ, ἑξ. ἐκτ.* (Schol.): *βωμὸν ἑξ. ἐκτ. Ἡρακλέης* CNO: *βωμῷ ἑξ. Ἡρακλέης ἐκτ.* BDG: *βωμῶν ἑξ. Ἡρ. ἐκτ.* E infra: *βίη Ἡρακλέος ἐκτ.* diorth.: *βωμὸν ἑξ. Ἡρ. ἐκτ.* — *ἑξάριθμον* BFM: utrumque AN — *ἐκτίσαθ᾽* CN: *ἐκτήσαθ᾽* (C ante corr.) O: *ἐκτίσατο* DPQΓ **26** -*δάνειον* BM: -*δώνιον* diorth.[1] **28** *ὡς*] *ὥς τ᾽* A **29** *ἄκονθ᾽* diorth. **30** -*σαις* AB infra: -*σας* — *καὶ κείνους* Böckh: *κἀκείνους* **33** *ἅμενον* BΩ diorth.: *ἥμενοι* (Schol. Σ) Heyne: *ἡμένω* Thiersch **34** *Μολίωνες* A — *ξειναπ.* AC **35** *Ἐ. β.* AC diorth.: *β. Ἐ.* — *ὄπιθεν* B?GLP (diorth.): *ὄπισθεν* **36** *ἴδε* LNPQ diorth.: *εἶδε* **37** *σιδήρου* ACL **39** *κρεισσόνων* A

festival accompanied by mystic rites.

ἀποθέσθ᾽ ἄπορον.
καὶ κεῖνος ἀβουλίᾳ ὕστατος
ἀλώσιος ἀντάσαις θάνατον αἰπὺν οὐκ ἐξέφυγεν.

Στρ. γ'.

ὁ δ᾽ ἄρ᾽ ἐν Πίσᾳ ἔλσαις ὅλον τε στρατὸν
λαίαν τε πᾶσαν, Διὸς ἄλκιμος
υἱός, σταθμᾶτο ζάθεον ἄλσος πατρὶ μεγίστῳ· περὶ δὲ πάξαις Ἄλτιν μὲν ὅγ᾽ ἐν καθαρῷ
διέκρινε, τὸ δὲ κύκλῳ πέδον
ἔθηκε δόρπου λύσιν,
τιμάσαις πόρον Ἀλφεοῦ

Ἀντ. γ'.

μετὰ δώδεκ᾽ ἀνάκτων θεῶν. καὶ πάγον
Κρόνου προσεφθέγξατο· πρόσθε γὰρ
νώνυμνος, ἇς Οἰνόμαος ἆρχε, βρέχετο πολλᾷ νιφάδι. ταύτᾳ δ᾽ ἐν πρωτογόνῳ τελετᾷ
παρέσταν μὲν ἄρα Μοῖραι σχεδὸν
ὅ τ᾽ ἐξελέγχων μόνος
ἀλάθειαν ἐτήτυμον

Ἐπ. γ'.

χρόνος. τὸ δὲ σαφανὲς ἰὼν πόρσω κατέφρασεν,
ὁπᾳ τὰν πολέμοιο δόσιν
ἀκρόθινα διελὼν ἔθυε καὶ πενταετηρίδ᾽ ὅπως ἄρα
ἔστασεν ἑορτὰν σὺν Ὀλυμπιάδι πρώτᾳ
νικαφορίαισί τε.
τίς δὴ ποταίνιον
ἔλαχε στέφανον
χείρεσσι, ποσίν τε, καὶ ἅρματι,

---

**41** *καὶ κεῖνος* Böckh: *κἀκεῖνος* — *ἀβουλίᾳ* (Schol.?) diorth.: *ἀβουλίαις* **42** *ἀλώσιος* AV — *ἀντάσαις* Böckh: *ἀντήσας* diorth.: *ἀντιάσας* **43** *ἄρ᾽*] *ἂν* A — *ἔλσαις* B: *ἐάσας* A: *ἔλσας* — om. *τε* CG **44** *λαίαν* Böckh: *λεῖαν* diorth.: *λαΐαν* **45** *-αις* (A lemma) BD: *-ας* — *Ἄλιν* C marg. (v. l. apud Schol.) **46** *πέδον ἔθηκε* diorth.: *δάπεδον θῆκε* **48** *-σαις* AB (C infra) D: *-σας* **49** *ἀνάκτων*] *ἀθανάτων* C **51** *νώνυμνος* diorth.: *νώνυμος* CDFLPQ: *νώνυμνον* (Schol. Σ): *νώνυμον* — *ἧς* diorth.[1] **54** *ἀληθ.* A (ante corr. C) **55** *δ᾽ ἐς ἀφανὲς* CDN: utrumque Schol. — *πόρσω* diorth.: *πρόσω* **56** *ὁπᾳ* (diorth.[1]): *ὅπα* et *ὁπα* — *πολέμοιο*] *πολέμου δὲ* diorth. **58** *σὺν*] *ἐν* diorth. — *πρῶτος* B? (V supra): *πρῶτα* B?DG **59** *νικηφ.* ALM **61** *ἔλαβε* PQ: *γε λάχε* diorth. **62** *ἅρμασιν* B diorth.

ἀγώνιον ἐν δόξᾳ θέμενος εὖχος, ἔργῳ καθελών;

Στρ. δ'.

σταδίου μὲν ἀρίστευσεν εὐθὺν τόνον
ποσσὶ τρέχων παῖς ὁ Λικυμνίου
Οἰωνός· ἷκεν δὲ Μιδέαθεν στρατὸν ἐλαύνων· ὁ δὲ πάλᾳ κυδαίνων Ἔχεμος Τεγέαν·
Δόρυκλος δ' ἔφερε πυγμᾶς τέλος,
Τίρυνθα ναίων πόλιν·
ἀν' ἵπποισι δὲ τέτρασιν

Ἀντ. δ'.

ἀπὸ Μαντινέας Σᾶμος ὡλιροθίου·
ἄκοντι Φράστωρ ἔλασε σκοπόν·
μᾶκος δὲ Νικεὺς ἔδικε πέτρῳ, χέρα κυκλώσαις ὑπὲρ ἁπάντων, καὶ συμμαχίᾳ θόρυβον
παραίθυξε μέγαν. ἐν δ' ἕσπερον
ἔφλεξεν εὐώπιδος
σελάνας ἐρατὸν φάος.

Ἐπ. δ'.

ἀείδετο δὲ πᾶν τέμενος τερπναῖσι θαλίαις
τὸν ἐγκώμιον ἀμφὶ τρόπον.
ἀρχαῖς δὲ προτέραις ἑπόμενοι καὶ νῦν ἐπωνυμίαν χάριν
νίκας ἀγερώχου, κελαδησόμεθα βροντὰν
καὶ πυρπάλαμον βέλος
ὀρσικτύπου Διός,
ἐν ἅπαντι κράτει
αἴθωνα κεραυνὸν ἀραρότα.
χλιδῶσα δὲ μολπὰ πρὸς κάλαμον ἀντιάξει μελέων,

---

**63** ἐν δόξᾳ BCEGV diorth.: ἔνδοξα A: ἐνδόξαν (ἐν δόξαν) **64** σταδίου μ. ἀ. εὐθὺν τόνον Thiersch: στάδιον μ. ἀ. εὐθύτονον — εὐθύδρομον Er. Schmid **66** ἧκεν diorth.: ἷκε A: ἵκε BC — Τεγέαν OZ: Τέγεὰν A: Τέγεαν **67** δ' ἔφ. πυ. τέ. ACNO: δὲ τέ. πυ. φέρε diorth.: δὲ φέρε(ν) πυ. τέ. **69** ἀν'] ἐν (A supra) diorth.[1]? — ἀνίπποισι A: ἀν' ἵπποις diorth.[2] — δὲ] καὶ A **70** Σᾶμος ὡλιροθίου Böckh: Σᾶμος [ὁ] Ἁλιρροθίου Aristodemus: Σῆρος [ὁ] Ἁλιρροθίου alii apud Schol.: Σᾶμος (Σῆμος diorth.[1]) ἠείδετο diorth.: σᾶμ' Ἁλιροθίου EF: σᾶμ' Ἁλιρροθίου (etiam Didymus et Schol.) **71** ἄκ. Φρ. ἔλ. Schol. et diorth.[1]: ἄκοντι Φρ. δ' ἔλ. diorth.[2]: ἄκοντι δὲ Φρ. ἔλ. **72** δὲ Νικεὺς A: δ' Ἐνικεὺς — -σαις ABD Schol.: -σας — ἅπαντας diorth. — συμμαχίᾳ ADF (Schol. A) diorth.: συμμαχία BCE: utrumque Schol. B **73** παραίθυξε CDE diorth.: παρέθηξε AB?P **78** καί νυν G. Hermann: καὶ νῦν **80** πυρπάλαμνον CF **81** Διός γ' diorth.[2] **83** ἀρηρότα diorth.[2]

more, 'tis in passing' L.S.    but cf. N.7.31

P.1.30.

Στρ. ε΄.

τὰ παρ᾽ εὐκλέϊ Δίρκᾳ χρόνῳ μὲν φάνεν·
ἀλλ᾽ ὦτε παῖς ἐξ ἀλόχου πατρὶ
ποθεινὸς ἵκοντι νεότατος τὸ πάλιν ἤδη, μάλα δέ τοι
θερμαίνει φιλότατι νόον·
ἐπεὶ πλοῦτος ὁ λαχὼν ποιμένα
ἐπακτὸν ἀλλότριον,
θνάσκοντι στυγερώτατος·

Ἀντ. ε΄.

καὶ ὅταν καλὰ ἔρξαις ἀοιδᾶς ἄτερ,
Ἀγησίδαμ᾽, εἰς Ἀΐδα σταθμὸν
ἀνὴρ ἵκηται, κενεὰ πνεύσαις ἔπορε μόχθῳ βραχύ τι τερ-
πνόν. τὶν δ᾽ ἁδυεπής τε λύρα
γλυκύς τ᾽ αὐλὸς ἀναπάσσει χάριν.
τρέφοντι δ᾽ εὐρὺ κλέος
κόραι Πιερίδες Διός.

Ἐπ. ε΄.

ἐγὼ δὲ συνεφαπτόμενος σπουδᾷ, κλυτὸν ἔθνος
Λοκρῶν ἀμφέπεσον, μέλιτι
εὐάνορα πόλιν καταβρέχων· παῖδ᾽ ἐρατὸν δ᾽ Ἀρχεστράτου
αἴνησα, τὸν εἶδον κρατέοντα χερὸς ἀλκᾷ
βωμὸν παρ᾽ Ὀλύμπιον,
κεῖνον κατὰ χρόνον
ἰδέᾳ τε καλὸν
ὥρᾳ τε κεκραμένον, ἅ ποτε
ἀναιδέα Γανυμήδει μόρον ἄλαλκε σὺν Κυπρογενεῖ.

---

**85** *εὐκλέϊ* diorth.: *εὐκλεεῖ* **86** *ὦτε* Böckh: *ὥστε* **87** *ἥκοντι* diorth. — *νεότατος* (AF supra) (C corr.) NO (Schol. A): *νεότατι* — *τὸ πάλιν* diorth.: *δ᾽ ἔμπαλιν* C: *τοὔμπαλιν* — *τοι*] *οἱ* Böckh — *νέον* GP **91** *καλὰ* (om. *μὲν*) diorth.: *καλὰ μὲν* — *ἔρξαις* et *ἕρξαις* B: *ῥέξας* A: *ἔρξαι* et *ἕρξαι* diorth.[2]: *ἔρξας* et *ἕρξας* **93** -*σαις* B infra: -*σας* — *δ᾽*] *δὲ* A — *ἀδ.* PV **94** *ἀναπάσσει* (A lemma) BCE diorth. (Schol. ABD): *ἀναπτάσσει* D?G supra (Schol. G): *ἀναπλάσσει* **95** *τρέφοντι*] *ἔχοντι* diorth. **97** *ἐγώ τε* CNO (Schol. A): *ἐγὼ δὲ* (etiam Schol. B) **98** *μέλιτι δ᾽* diorth.[2] **99** *δ᾽* diorth.[1]: *τ᾽* Dissen: om. *δ᾽* **100** *αἰνήσας* A: *αἰνέσας* EF — *χερὸς* diorth.[1]: *χειρὸς* **102** *χρόνον γ᾽* diorth.[2] **104** *ἅ ποτε* G. Hermann: *ἅ τ᾽* diorth.: *ἅποτ᾽* **105** *Γανυμήδει* diorth.: *Γανυμήδεϊ* A: *Γαννυμήδεϊ* CO: *Γαννυμήδει* — *μόρον* Mommsen: *πότμον* (Er. Schmid) G. Hermann: *θάνατον*

# ΟΛΥΜΠΙΟΝΙΚΑΙ ΙΑ΄.

## ΑΓΗΣΙΔΑΜΩι ΛΟΚΡΩι ΕΠΙΖΕΦΥΡΙΩι

### ΠΑΙΔΙ ΠΥΚΤΗι.

---

**Strophae.**

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – ⏑ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓

**Epodi.**

–́ ⏑ – –́ ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – ⏔ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ – ⏓ – ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – ⏑ –́ ⏑ – –́ ⏑ – – –́ ⏑ – ⏓

Στρ.

Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλείστα
χρῆσις, ἔστιν δ' οὐρανίων ὑδάτων
ὀμβρίων, παίδων νεφέλας.
εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι, μελιγάρυες ὕμνοι
ὑστέρων ἀρχὰ λόγων
τέλλεται καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.

Ἀντ.

ἀφθόνητος δ' αἶνος Ὀλυμπιονίκαις
οὗτος ἄγκειται. τὰ μὲν ἁμετέρα

---

deest L

Inscr. ιά] ι Böckh — Ἀγ. Λ. Ἐπ. π. π. Böckh: Πινδάρου Τόκος F: ἀρχὴ Τόκου V: τῷ αὐτῷ [Ἀγησιδάμῳ] Τόκος
1 πλεῖστα AD (diorth.): πλείστα (diorth.) 4 πράσσων C: πράσση Schol. B? 5 ἀρχὰ A (Schol.): ἀρχαὶ 7 ἀφθόνατος (lemma EF) 8 ἄγκειται (Schol. A) diorth.: ἔγκειται — ἁμέτερα DM diorth.[2]

γλῶσσα ποιμαίνειν ἐθέλει·
ἐκ θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ πραπίδεσσιν. ὁμῶς ὦν
ἴσθι νῦν, Ἀρχεστράτου
παῖ, τεᾶς, Ἁγησίδαμε, πυγμαχίας ἕνεκεν

Ἐπ.

κόσμον ἀμφὶ στεφάνῳ χρυσέας ἐλαίας
ἁδυμελῆ κελαδήσω,
τῶν Ἐπιζεφυρίων Λοκρῶν γενεὰν ἀλέγων.
ἔνθα συγκωμάξατ'· ἐγγυάσομαι
μή νιν, ὦ Μοῖσαι, φυγόξεινον στρατὸν
μηδ' ἀπείρατον καλῶν,
ἀκρόσοφον τε καὶ αἰχματὰν ἀφίξεσθαι. τὸ γὰρ
ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ
οὐδ' ἐρίβρομοι λέοντες διαλλάξαιντο ἦθος.

---

**10** ἀνθεῖ πρ. ὁμῶς ὦν Mommsen e Schol.: ἀνθεῖ πρ. ὅμως ὦν CNO (in C πραπίσιν): ἀνθεῖ ἐσαεὶ πρ. diorth.: ἀνθεῖ πρ. ὁμοίως Bergk: ἀνθεῖ πρ. (om. ὁμῶς ὦν) **13** ἀμφὶ A: ἐπὶ **14** ἀδυμ. PQ **17** νιν C ante corr.?: τιν' Thiersch: μιν — Μοῦσαι ANP — -ξεινον ACNOΞ: -ξενον **19** τε] δὲ EF diorth. (Schol.?) — αἰχμητὰν DGPVΓ diorth. **20** εὐφυὲς AMU **21** οὐδ' A (Schol. A?): οὔτ'

---

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ ΙΒ'.

# ΕΡΓΟΤΕΛΕΙ ΙΜΕΡΑΙΩι

### ΔΟΛΙΧΕΙ.

**Strophae.**

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ ⏓

---

deest L

Inscr. δολιχεῖ ACNOΔΣ: ἀπήνῃ Bergk: δολιχοδρόμῳ — addunt καὶ Ἴσθμια καὶ Πύθια ΑΔ: Ὀλύμπια καὶ Ἰ. καὶ Π. Σ: Πύθια καὶ Ἴσθμια BEQ

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓

**Epodus.**

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏑
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –́ ⏑ – – –́ ⏑ – –

Στρ.

Λίσσομαι, παῖ Ζηνὸς Ἐλευθερίου,
Ἱμέραν εὐρυσθενέ᾽ ἀμφιπόλει, Σώτειρα Τύχα.
τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται θοαὶ
νᾶες, ἐν χέρσῳ τε λαιψηροὶ πόλεμοι
κἀγοραὶ βουλαφόροι. αἵ γε μὲν ἀνδρῶν
πόλλ᾽ ἄνω, τὰ δ᾽ αὖ κάτω ψευδῆ μεταμώνια τάμνοισαι
κυλίνδοντ᾽ ἐλπίδες·

Ἀντ.

σύμβολον δ᾽ οὔ πώ τις ἐπιχθονίων
πιστὸν ἀμφὶ πράξιος ἐσσομένας εὗρεν θεόθεν·
τῶν δὲ μελλόντων τετύφλωνται φραδαί.
πολλὰ δ᾽ ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν,
ἔμπαλιν μὲν τέρψιος, οἱ δ᾽ ἀνιαραῖς
ἀντικύρσαντες ζάλαις ἐσλὸν βαθὺ πήματος ἐν μικρῷ πεδάμειψαν χρόνῳ.

Ἐπ.

υἱὲ Φιλάνορος, ἤτοι καὶ τεά κεν,
ἐνδομάχας ἅτ᾽ ἀλέκτωρ, συγγόνῳ παρ᾽ ἑστίᾳ
ἀκλεὴς τιμὰ κατεφυλλορόησε ποδῶν,
εἰ μὴ στάσις ἀντιάνειρα Κνωσίας σ᾽ ἄμερσε πάτρας.

deest L

**2** Ἱμέραν A (B corr.) (diorth.[1]) Schol.: Ἱμέρα (Ἱμέρ᾽) et Ἱμέρᾳ — -σθενέος CO: -σθενεῖ D?Z — ἀμφιπόλει AV (diorth.[1]) Schol.: ἀμφιπολεῖν Schol. A?: ἀμφὶ πόλιν B supra: ἀμφὶ πόλει — τύχᾳ A **6** ψεύδη Moreliana — τέμνοισαι B diorth. **9** γραδαί AC: φράδαι **10** ἀνθρώποισι A — ἔπεσσεν B diorth.[2] **12** ἐσθλὸν CDΓ diorth. — παῖδ᾽ ἄμειψαν A: ποτάμειψαν B supra: προσάμειψαν PQ **13** ἦτοι DΓ diorth.: ἤτοι et ἦτοι EFN: ἥτοι **15** κατεφυλλοχόησε apud Phrynichum **16** Κνωσσίας AMNO — σ᾽ ἄμερσε A (Schol.): ἄμερσε

'at thy word'

vain; idle, bootless √μετα √ἄτερος (?)

good luck

st = I will visit.

νῦν δ' Ὀλυμπίᾳ στεφανωσάμενος
καὶ δὶς ἐκ Πυθῶνος Ἰσθμοῖ τ', Ἐργότελες,
θερμὰ Νυμφᾶν λουτρὰ βαστάζεις, ὁμιλέων παρ' οἰκείαις
ἀρούραις.

---

17 δ'] δ' ἐν A 18 δὶς ἐκ Π.] δι' ἐκ Πυθῶνος A: δὶς ἐν Πυθῶνι diorth. 19 θερμᾶν(?) Ν. λουτρᾶν A

---

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ ΙΓ'.

# ΞΕΝΟΦΩΝΤΙ ΚΟΡΙΝΘΙῼ

### ΣΤΑΔΙΟΔΡΟΜῼ ΚΑΙ ΠΕΝΤΑΘΛῼ.

### Strophae.

⏑ ⏑ –́ ⏑ ⏑ – ⏒
⏒ –́ ⏑ – × ⏑ –́ ⏑ ⏑ – ⏒
⏑ –́ ⏑ ⏔́ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ ⏔́ ⏑ – ⏑ – ⏑ ⏓
⏑ ⏑ –́ ⏑ – × ⏑ –́ ⏑ ⏑ – ⏒
⏒ –́ ⏑ –́ ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏓
⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ ⏓

### Epodi.

– –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – ⏒ –́ ⏑ ⏑ – –́ ⏑ – ⏒
⏔́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏔́ ⏑ – –́ ⏑ – – ⏔́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – –́ ⏑ – – ⏔́ ⏑ – ⏒

Στρ. α'.

Τρισολυμπιονίκαν
ἐπαινέων οἶκον ἅμερον ἀστοῖς,
ξένοισι δὲ θεράποντα, γνώσομαι

---

desunt ALM
1 τρὶς Ὀλ. B (Schol.) 3 ξέν. EFNΓ diorth.: ξείν. — δὲ] τε CNO

τὰν ὀλβίαν Κόρινθον, Ἰσθμίου
πρόθυρον Ποσειδᾶνος, ἀγλαόκουρον.
ἐν τᾶ γὰρ Εὐνομία ναίει, κασιγνήτα τε, βάθρον πολίων, ἀσφαλὴς
Δίκα, καὶ ὁμότροφος Εἰρήνα, τάμι᾽ ἀνδράσι πλούτου,
χρύσεαι παῖδες εὐβούλου Θέμιτος·

Ἀντ. α'.

ἐθέλοντι δ᾽ ἀλέξειν
ὕβριν, κόρου ματέρα θρασύμυθον.
ἔχω καλά τε φράσαι, τόλμα τέ μοι
εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν.
ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος.
ὔμμιν δέ, παῖδες Ἀλάτα, πολλὰ μὲν νικαφόρον ἀγλαΐαν ὤπασαν
ἄκραις ἀρεταῖς ὑπερελθόντων ἱεροῖς ἐν ἀέθλοις,
πολλὰ δ᾽ ἐν καρδίαις ἀνδρῶν ἔβαλον

Ἐπ. α'.

Ὧραι πολυάνθεμοι ἀρχαῖα σοφίσμαθ᾽. ἅπαν δ᾽ εὑρόντος ἔργον.
ταὶ Διωνύσου πόθεν ἐξέφανεν
σὺν βοηλάτᾳ χάριτες διθυράμβῳ;
τίς γὰρ ἱππείοις ἐν ἔντεσσιν μέτρα,
ἢ θεῶν ναοῖσιν οἰωνῶν βασιλῆα δίδυμον ἐπέθηκ᾽· ἐν δὲ Μοῖσ᾽ ἁδύπνοος,
ἐν δ᾽ Ἄρης ἀνθεῖ νέων οὐλίαις αἰχμαῖσιν ἀνδρῶν;

Στρ. β'.

ὕπατ᾽ εὐρὺ ἀνάσσων

---

5 Ποσειδᾶνος BCOΞ: Ποτιδᾶνος DEPTV: Ποτειδᾶνος ΓΣ diorth.[2]: Ποσειδῶνος diorth.[1] 6 τᾶ γὰρ CNPQΞ diorth.[1]: τᾶδε δ᾽ V diorth.[2]: τᾶδε γὰρ — κασίγνηταί τε BD diorth. — ἀσφαλὲς Er. Schmid 7 ὁμότροφος CNO (Schol. B): ὁμότροπος — Εἰράνα CO: Εἰρήνη DHΓ diorth.[1] — τάμι᾽ ἀν. Mommsen: ταμίαι ἀν. 9 ἀλέξειν C: ἀλεξεῖν 10 θρασύθυμον CHNOΓ: θρασύβουλον D 14 ὔμμιν DHΓ diorth.([1])[2] — ὤπασάν γ᾽ diorth.[2] 15 ὑπερελθοῦσιν diorth.[1] — ἐν ἀέθλοις (lemma G) ZΞ: εἰν ἀέθλοισιν diorth.: ἐν ἀέθλοισι 17 -μαθ᾽. ἅπαν diorth.: -ματα. πᾶν PQ: -ματα. ἅπαν 18 Διωνύσου diorth.[1]: Διωνύσσου P: Διονύσσου Q: Διονύσου — ἐξέφαναν diorth. 19 βοηλάτῳ C 20 γὰρ] δὲ Γ diorth. — ἔντεσσιν diorth.: ἔντεσι 21 βασιλέα G. Hermann — δίδυμνον Böckh: δίδυμον — ἐπέθηκεν. ἐν DVΔ: ἔθηκεν. ἐν diorth.

ol.1.56.

pres. 'keep unchanged'

Ὀλυμπίας, ἀφθόνητος ἔπεσσιν
γένοιο χρόνον ἅπαντα, Ζεῦ πάτερ,
καὶ τόνδε λαὸν ἀβλαβῆ νέμων
Ξενοφῶντος εὔθυνε δαίμονος οὖρον·
δέξαι τέ οἱ στεφάνων ἐγκώμιον τεθμόν, τὸν ἄγει πεδίων ἐκ Πίσας,
πενταέθλῳ ἅμα σταδίου νικῶν δρόμον· ἀντεβόλησεν
τῶν ἀνὴρ θνατὸς οὔπω τις πρότερον.

Ἀντ. β'.

δύο δ' αὐτὸν ἔρεψαν
πλόκοι σελίνων ἐν Ἰσθμιάδεσσιν
φανέντα· Νέμεά τ' οὐκ ἀντιξοεῖ·
πατρὸς δὲ Θεσσαλοῖ' ἐπ' Ἀλφεοῦ
ῥεέθροισιν αἴγλα ποδῶν ἀνάκειται,
Πυθοῖ τ' ἔχει σταδίου τιμὰν διαύλου τ' ἀελίῳ ἀμφ' ἑνί, μηνός τέ οἱ
τωὐτοῦ κρανααῖς ἐν Ἀθάναισι τρία ἔργα ποδάρκης
ἁμέρα θῆκε κάλλιστ' ἀμφὶ κόμαις,

Ἐπ. β'.

Ἑλλώτια δ' ἑπτάκις· ἐν δ' ἀμφιάλοισι Ποτειδᾶνος τεθμοῖσιν
Πτοιοδώρῳ σὺν πατρὶ μακρότεραι
Τερψίᾳ θ' ἕψοντ' Ἐριτίμῳ τ' ἀοιδαί.
ὅσσα τ' ἐν Δελφοῖσιν ἀριστεύσατε
ἠδὲ χόρτοις ἐν λέοντος, δηρίομαι πολέεσσι περὶ πλήθει καλῶν, ὡς μὰν σαφὲς

---

desunt ALM

**24** ἀφθόνατος Δ? Θ **25** μένοιο B **28** τε CNO (Schol.): δέ **29** πεντάθλῳ PQ diorth. — ἀντεβ.] οὐκ ἀντεβ. diorth. **30** θνητὸς P — πρότερος CNO (Paraphr. B) **34** Θεσσαλοῖ' C? N, O a sec. m.: Θεσσαλοῦ diorth.: Θεσσαλοῖο **36** δ' ἔχει CNO (Paraphr. B) — τ' ἀελίῳ Bergk: τἀλίῳ B: τ' ἀλίῳ FGHQVΣ: τ' ἁλίῳ CPTU: θ' ἁλίῳ DENOΓ diorth. — δέ οἱ Paraphr.? **37** ταὐτοῦ EPV — ἔργα] μὰν ἔργα diorth.[1]: μὲν ἔργα diorth.[2] — ποδάρκης V (diorth.[1]): ποδαρκὲς B: ποδαρκὴς **38** ἡμέρα BCENOΣ diorth.[1] **39** Ἑλλ. CDPQΓ diorth.[2] — Ποτειδᾶνος BΣ diorth.[2]: Ποσειδᾶνος CΔ: Ποσειδῶνος NO diorth.[1]: Ποτιδᾶνος DEPTVΓ **41** Τερψίᾳ θ' ἕψ. Ἐριτίμῳ τ' Er. Schmid (B supra? N infra?): τέρψιές [θ' (B infra, C corr.) DO diorth.: γ' PQ] ἐρίτιμοί τ': utrumque Schol. — ἕψοντ'] ἕσποντ' Bothe **43** πολέεσσι DF: πολέσιν CNO diorth.: πολέσι

οὐκ ἂν εἰδείην λέγειν ποντιᾶν ψάφων ἀριθμόν.

Στρ. γ'.

ἕπεται δ' ἐν ἑκάστῳ
μέτρον. νοῆσαι δὲ καιρὸς ἄριστος.
ἐγὼ δὲ ἴδιος ἐν κοινῷ σταλεὶς
μῆτίν τε γαρύων παλαιγόνων
πόλεμόν τ' ἐν ἡρωΐαις ἀρεταῖσιν
οὐ ψεύσομ' ἀμφὶ Κορίνθῳ, Σίσυφον μὲν πυκνότατον
παλάμαις ὡς θεόν,
καὶ τὰν πατρὸς ἀντία Μήδειαν θεμέναν γάμον αὐτᾷ,
ναῒ σώτειραν Ἀργοῖ καὶ προπόλοις.

Ἀντ. γ'.

τὰ δὲ καί ποτ' ἐν ἀλκᾷ
πρὸ Δαρδάνου τειχέων ἐδόκησαν
ἐπ' ἀμφότερα μαχᾶν τάμνειν τέλος,
τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέος
Ἑλέναν κομίζοντες, οἱ δ' ἀπὸ πάμπαν
εἴργοντες· ἐκ Λυκίας δὲ Γλαῦκον ἐλθόντα τρόμεον Δα-
ναοί. τοῖσι μὲν
ἐξεύχετ' ἐν ἄστεϊ Πειράνας σφετέρου πατρὸς ἀρχὰν
καὶ βαθὺν κλᾶρον ἔμμεν καὶ μέγαρον·

Ἐπ. γ'.

ὃς τᾶς ὀφιώδεος υἱόν ποτε Γοργόνος ἦ πόλλ' ἀμφὶ
κρουνοῖς
Πάγασον ζεῦξαι ποθέων ἔπαθεν,
πρίν γέ οἱ χρυσάμπυκα κοῦρα χαλινὸν
Παλλὰς ἤνεγκ'· ἐξ ὀνείρου δ' αὐτίκα
ἦν ὕπαρ· φώνησε δ'· Εὕδεις, Αἰολίδα βασιλεῦ; ἄγε δὲ
φίλτρον τόδ' ἵππειον δέκευ,

---

`desunt ALM

44 εἰδοίην λέγων E 45 δ' ἑκάστῳ CN: δ' ἐν κάστῳ diorth.[2] 47 δὲ diorth.: δ' 48 μᾶτιν NO 49 ἡρωΐαις CNO diorth.: ἡρώαις 50 ψεύσομ' diorth.: ψεύσομαι — Κορίνθου NO: Κορίνθω. οὐ GPTV 51 γάμον] τὸν γάμον diorth. — αὐτᾷ diorth.: utrumque B 52 προπ. BEG diorth.: προσπ. 54 ἐδόκασαν Grammaticus apud Cramerum 55 ἐπαμφ. CF — τάμνειν CDNO: τέμνειν 56 φι. γέ. P — Ἀτρέως NOPQTΣ — ἀπὸ πάμπαν BCH diorth.: ἀποπάμπαν 59 ἄστεϊ CNO diorth.: ἄστει — πατρὸς] μὲν πατρὸς diorth. 63 γε] τε CO 65 φώνησε Mommsen: φώνασε — ἄγε δὲ duce Schol. Mommsen: ἄγε — δέκευ CΓ diorth.[2]: δέχευ et δέχου

καὶ Δαμαίῳ νιν θύων ταῦρον ἀργάεντα πατρὶ δεῖξον.

Στρ. δ'.

κυάναιγις ἐν ὄρφνᾳ
κνώσσοντί οἱ παρθένος τόσα εἰπεῖν
ἔδοξεν· ἀνὰ δ' ἔπαλτ' ὀρθῷ ποδί.
παρκείμενον δὲ συλλαβὼν τέρας,
ἐπιχώριον μάντιν ἄσμενος εὗρεν,
δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευτὰν πράγματος, ὥς τ' ἀνὰ βωμῷ θεᾶς
κοιτάξατο νύκτ' ἀπὸ κείνου χρήσιος, ὥς τέ οἱ αὐτὰ
Ζηνὸς ἐγχεικεραύνου παῖς ἔπορεν

Ἀντ. δ'.

δαμασίφρονα χρυσόν.
ἐνυπνίῳ δ' ᾇ τάχιστα πιθέσθαι
κελήσατό νιν, ὅταν δ' εὐρυσθενεῖ
καρταίποδ' ἀναρύῃ Γαιαόχῳ,
θέμεν Ἱππείᾳ βωμὸν ἐγγὺς Ἀθάνᾳ.
τελεῖ δὲ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον καὶ παρὰ ἐλπίδα κούφαν κτίσιν.
ἤτοι καὶ ὁ καρτερὸς ὁρμαίνων ἕλε Βελλεροφόντας,
φάρμακον πραῢ τείνων ἀμφὶ γένυι,

Ἐπ. δ'.

ἵππον πτερόεντ'· ἀναβὰς δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζεν.
σὺν δὲ κείνῳ καί ποτ' Ἀμαζονίδων

---

desunt ALM

66 καὶ] καί, τοι aut ἤ, τοι B lemma — νιν COΓ: μιν — ἀργάεντα Mommsen: ἀργὸν diorth.: ἀγᾶντα et ἀργάντα 67 κυάναιγις B: κυαναιγὶς 68 κνώσσοντι PΣ — τόσα DE: τόσσα 69 ἄνδοξεν E — ἔπᾶλτ' Böckh 73 ἀπὸ κείνου Böckh: ἀπ' ἐκείνου — ὥς] ὅππως diorth. 75 χρυσοῦν diorth.([1])[2] 76 δ' ᾇ Kayser: δ' ἁ E: δε B: δὴ F: δ' ὡς diorth.: δαὶ et δὲ — πιθέσθαι DFΣ diorth.[2]: πίθεσθαι GHPTV diorth.[1]: πείθεσθαι BCENOΓ 77 νιν CNOΓ: μιν 78 καρτ. diorth.: κραιτ. B: κρατ. — ἀνερύῃ diorth.[1]: ἀνρύῃ diorth.[2]: αὐερύῃ Rom. — Γεαόχῳ diorth. 79 Ἱππίᾳ Γ diorth.[1] — ἐγγὺς NOP: εὐθὺς 80 τελεῖ θεῶν D: τέλλει θεῶν G. Hermann: πληροῖ θεῶν Ω: πληροῖ δὲ θεῶν diort . — καὶ παρὰ ἐλπ. diorth.: καὶ τὰν παρ' ἐλπ. — κτίσιν Γ diorth.[1]: κτίσιν γ' diorth.[2]: κτῆσιν 81 ἦτοι Ceporinus: ἤτοι — ἕλε] ἔλαβεν diorth. 82 τεῖνον B supra — γένυι (B lemma) G. Hermann: γένυ (γένυ', γένυν) diorth.: γένυϊ 83 πτεροεντα. NO diorth.[2] — ἐνόπλια] ἀέρια apud Eustathium — -ζεν] -ξε(ν) CNO diorth.([1])[2] 84 δὲ κείνῳ Böckh: δ' ἐκείνῳ et δὲ ἐκείνῳ

αἰθέρος ψυχρᾶς ἀπὸ κόλπων ἐρήμου
τοξόταν βάλλων γυναικεῖον στρατόν,
καὶ Χίμαιραν πῦρ πνέοισαν καὶ Σολύμους ἔπεφνεν. δια-
σιωπάσομαί οἱ μόρον ἐγώ·
τὸν δ' ἐν Οὐλύμπῳ φάτναι Ζηνὸς ἀρχαῖαι δέκονται.

Στρ. ε'.

ἐμὲ δ' εὐθὺν ἀκόντων
ἱέντα ῥόμβον παρὰ σκοπὸν οὐ χρὴ
τὰ πολλὰ βέλεα καρτύνειν χεροῖν.
Μοίσαις γὰρ ἀγλαοθρόνοις ἑκὼν
Ὀλιγαιθίδαισίν τ' ἔβαν ἐπίκουρος
Ἰσθμοῖ τά τ' ἐν Νεμέᾳ. παύρῳ δ' ἔπει θήσω φανέρ'
ἀθρό', ἀλαθής τέ μοι
ἔξορκος ἐπέσσεται ἑξηκοντάκι δὴ ἀμφοτέρωθεν
ἁδύγλωσσος βοὰ κάρυκος ἐσλοῦ.

Ἀντ. ε'.

τὰ δ' Ὀλυμπίᾳ αὐτῶν
ἔοικεν ἤδη πάροιθε λελέχθαι·
τὰ δ' ἐσσόμενα τότ' ἂν φαίην σαφές·
νῦν δ' ἔλπομαι μέν, ἐν θεῷ γε μὰν
τέλος· εἰ δὲ δαίμων γενέθλιος ἕρποι,
Δὶι τοῦτ' Ἐνυαλίῳ τ' ἐκδώσομεν πράσσειν. τὰ δ' ὑπ'
ὀφρύϊ Παρνασίᾳ,
ἓξ ἄρατ'· ἐν Ἄργεϊ χἂν Θήβαις· ὅσα τ' Ἀρκάσιν ἄσσον

desunt ALM

**85** *ἐρήμων* G. Hermann **86** *βάλλεν* Schol.?: *βάλλε* Z: *βάλε* QT: *βάλεν* UV: *βάλων* P **87** *Χείμεραν* C: *Χείμαιραν* diorth.[2] — *διασιωπάσομαί οἱ μόρον ἐγώ* Mommsen: *διασωπάσομαι αὐτῷ μόρον* diorth.[1]: *διασιγάσομαι αὐτῷ μόρον* diorth.[2]: *διασωπάσομαί οἱ μόρον ἐγώ* **88** *Οὐλ.* diorth.: *Ὀλ.* — *ἀρχεῖαι* diorth.[2] — *δέκονται* C: *δέχονται* **90** *ἱέντα* CHTV **91** *κρατ.* DEFTVΓ **92** *Μοίσαις* diorth.: *Μοίσαισι* — *ἑκὼν* Moreliana: *ἕκων* diorth.: *ἄκων* (satelles) Schol.?: *εἴκων* **94** *ἔπει θήσω*] *ἐπιθήσω* BC **95** *ἐξ ὅρκος* BV — *δὴ* G. Hermann: *γὰρ* diorth.: *δ'* — *ἀμφοτέρωθέν γ'* diorth.[2] **96** *ἀδυγλ.* PQΔ — *κήρ.* (B lemma) NO — *ἐσθλοῦ* CNOΓ **99** *τὰ δ'* CNO (Schol.): *τά τ'* **100** om. *μὲν* GHPTVΣ **101** *δαίμων γεν.* N diorth.: *δαίμων ὁ γεν.* **102** *Δὶι* Bergk: *Δὶ* Böckh: *Διὶ* — *τοῦτ'*] *τό, τ'* EF: *τάτε* v. l. E: *τῷ τ'* (*τῶτ'*) v. l. F, PQT — *ὑπ'* CNO: *ἐπ'* — *-νασίᾳ* (B ante corr., B lemma) DFNΓ: *-νασσίᾳ* **103** *ἓξ ἄρατ'· ἐν Ἄργεϊ χἂν* Mommsen: *ἓξ ἄρατο ἐν Ἄργεϊ δ' ὅσσα καὶ ἐν* B (Schol. B): *ἕξ, Ἄργει θ' ὅσσα καὶ ἐν* C: *ἐν Ἄργει θ' ὅσσα καὶ ἐν* NO: *ἀμφ' Ἄργεϊ θ' ὅσσα καὶ ἐν* diorth.[1]: *ἀμφ' Ἄργει τε ὅσσα καὶ ἐν*

μαρτυρήσει Λυκαίου βωμὸς ἄναξ,

Ἐπ. ε΄.

Πέλλανά τε, καὶ Σικυὼν, καὶ Μέγαρ᾽ Αἰακιδᾶν τ᾽ εὐερκὲς ἄλσος,
ἅ τ᾽ Ἐλευσὶς, καὶ λιπαρὰ Μαραθών,
ταί θ᾽ ὑπ᾽ Αἴτνας ὑψιλόφου καλλίπλουτοι
πόλιες, ἅ τ᾽ Εὔβοια. καὶ πᾶσαν κατὰ
Ἑλλάδ᾽ εὑρήσεις ἐρευνῶν μάσσον᾽ ἢ ὡς ἰδέμεν. ἀλλὰ κούφοισιν ἐκνεῦσαι ποσίν·
Ζεῦ, τελέαν αἰδῶ δίδοι καὶ τύχαν τερπνῶν γλυκεῖαν.

desunt ALM

diorth.[2]: ἐν Ἄργει δ᾽ ὅσσα καὶ ἐν — τ᾽] τε diorth. — Ἀρκάσιν ἄσσον (sc. ἰοῦσι) Mommsen: Ἀρκὰς ἀνάσσων et Ἀρκάσι μάσσω G. Hermann: Ἀρκάσ᾽ ἀνάσσων diorth.: Ἀρκάσιν ἀνάσσων

**105** Πέλλανά G. Hermann: Πελλάνα — Αἰακιδῶν FO diorth.[1]: Αἰολιδῶν N **108** κατὰ diorth.: καθ᾽ **109** μάσσον᾽ (EO supra) diorth. (Schol.): μᾶσσον — ἀλλὰ] ἀνὰ Mingarelli: ἄνα, Pauw: σὺ δ᾽, ἄνα, G. Hermann — Post ποσίν plene (FN) Kayser: commate Heyne: non dist. **110** τελέαν αἰδῶ δίδοι e Schol. Mommsen: τέλεαι. αἰδῶ τε δίδοι B: τέλει. αἰδῶ διδοὺς diorth.: τέλει᾽· αἰδῶ δίδοι Böckh: τέλειε. αἰδῶ τε δίδοι

---

## ΟΛΥΜΠΙΟΝΙΚΑΙ ΙΔ΄.

# ΑΣΩΠΙΧΩ͂Ι ΕΡΧΟΜΕΝΙΩ͂Ι

### ΠΑΙΔΙ ΣΤΑΔΙΕΙ.

– –́ ⏑ –́ ⏑ ⏑ –
⏑ –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ – –
–́ ⏑ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏓
x⏑⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ –
–́ ⏑ ⏑ – ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏑ –
–́ ⏑ ⏑⏑ –́ ⏑ – –́ ⏑ ⏑ ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – –
–́ ⏑ – ⏑ x⏑⏑ ⏓ –́ ⏑ ⏑ – ⏑ –

desunt ALMO

Inscr. Ἀσωπίῳ EF — Ἐρχ. (diorth.[1]) Cavedoni: Ὀρχ.

–́ ⏑ ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ – ⏑ – –́ ⏑ ⏑ ⏓
– –́ ⏑ – ⏑ – –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏓
– ⏖́ ⏑ – – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏓ – ⏓ – –

Στρ. α΄.

**Καφισίων ὑδάτων**
λαχοῖσαι αἵτε ναίετε καλλίπωλον ἕδραν,
ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι
Χάριτες Ἐρχομενοῦ, παλαιγόνων Μινυᾶν ἐπίσκοποι,
κλῦτ᾽, ἐπεὶ εὔχομαι. σὺν ὔμμιν τά τε τερπνὰ καὶ
τὰ γλυκέα γίνεται πάντα βροτοῖς,
εἰ σοφός, εἰ καλός, εἴ τις ἀγλαὸς ἀνήρ.
οὔτε γὰρ θεοὶ σεμνᾶν Χαρίτων ἄτερ
κοιρανέοισιν χοροὺς οὔτε δαῖτας· ἀλλὰ πάντων ταμίαι
ἔργων ἐν οὐρανῷ, χρυσότοξον θέμεναι παρὰ
Πύθιον Ἀπόλλωνα θρόνους,
ἀέναον σέβοντι πατρὸς Ὀλυμπίοιο τιμάν.

Στρ. β΄.

ὦ πότνι᾽ Ἀγλαΐα
φιλησίμολπέ τ᾽ Εὐφροσύνα, θεῶν κρατίστου
παῖδες, ἐπάκοοι τὸ νῦν, Θαλία τε
ἐρασίμολπε, ἰδοῖσα τόνδε κῶμον ἐπ᾽ εὐμενεῖ τύχᾳ
κοῦφα βιβῶντα· Λυδῷ Ἀσώπιχον ἐν τρόπῳ
ἔν τε μελέταις ἀείδων ἔμολον,
οὕνεκ᾽ Ὀλυμπιόνικος ἁ Μινυεία

---

desunt ALMO

**1** *Καφισίων* BCFN diorth.[1]: *Καφησίων* EHTVΓ diorth.[2]: *Καφισσίων* DPQ **2** *λαχοῖσαν* Böckh — *καλλίβωλον* C ante corr. (diorth.[1]) **4** *Ἐρχ.* Ξ (diorth.[1]) Cavedoni: *Ὀρχ.* **5** *σὺν ὔμμιν τά τε τερπνὰ καὶ* Mommsen: *σὺν ὔμμιν γὰρ τά τε τερπνὰ καὶ* Böckh: *σὺν γὰρ ὔμι(ν) τὰ τερπνά τε καὶ* CPQ: *σὺν γὰρ ὑμῖν τὰ τερπνὰ καὶ* **6** *γίγνεται* Böckh **7** *κεἰ σοφὸς* e Schol. Bergk **8** *οὔτε*] *οὐδὲ* Schneidewin — *σεμνᾶν*] *ἁγνᾶν* Kayser **9** *κοιρανέοισιν* Böckh: *κοιρανέοντι* **12** *ἀέναον* diorth.: *ἀένναον* **13** *ὦ πότνι᾽* Heyne: *πότνι᾽* CNPQ diorth.: *πότνια* **14** *τ᾽* CNPQΓ: *τε* — *κρατίστων* s. *κράτισται* Schol.? **15** *ἐπάκοοι τὸ νῦν* (olim *ἐπάκοος γένευ*) G. Hermann: *ἐπάκοοι νῦν* — *Θάλεια* BCN **16** *εὐγενεῖ* PQTV: utrumque Γ **17** *Λυδῷ* Mommsen: *Λυδῷ γὰρ* et *Λυδίῳ δ᾽* G. Hermann: *Λυδίῳ γὰρ* — *Ἀσώπιον* E **18** *ἔν τε μελέταις* G. Hermann: *ἐν μελέταις* (B lemma) N?: *ἐν μελέταις τ᾽* CN? PQ: *ἐν μελέταις τε* — *ἔμολον*] *μόλον* diorth.[2] **19** *οὕνεκ᾽* ENTV diorth. — *Μινυεία* C corr.: *Μινύεια*

B. i. 14. Prob. sung in temple of Graces Aglaia, Euphrosyne, Thalia.

'Eriots Orch. queens'

practice of chorus x Lyd. of poet. Jebb.

aid

glaine. [illegible] ó lond'f.

σεῦ ἕκατι. μελανοτειχέα νῦν δόμον
Φερσεφόνας ἐλθέ, Ἀχοῖ, πατρὶ κλυτὰν φέροισ᾽ ἀγγελίαν,
Κλεόδαμον ὄφρ᾽ ἰδοῖσ᾽ υἱὸν εἴπῃς, ὅτι οἱ νέαν
κόλποις παρ᾽ εὐδόξου Πίσας
ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν.

desunt ALMO

**20** *μελανοτειχέα* Böckh: *μελαντειχέα* diorth.: *μελεντείχεα* TV: *μελαντείχεα* — om. *νῦν* diorth.[2] **21** *Περσ.* CNPΣ — *ἔλθε* C: *ἔλθ᾽* NQ: *ἴθι* diorth. **22** *Κλεοδάμῳ, ὄφρ᾽* B: *Κλεύδαμον ὄφρ᾽* Böckh — *νέον* B, v. l. H (diorth.[1]) **23** *κόλποις* EFN (diorth.[1]): *κόλποισι* — *εὐδόξου* Böckh: *εὐδόξοιο*

# ΠΥΘΙΟΝΙΚΑΙ.

## ΠΥΘΙΟΝΙΚΑΙ Α'.

# ΙΕΡΩΝΙ ΑΙΤΝΑΙΩι

### ΑΡΜΑΤΙ.

**Strophae.**

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏒
×́ – –́ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – ⏒

**Epodi.**

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏖ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
⏖́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
⏖ ⏑ – – –́ ⏑ – – | –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏑ ⏑ –́ – –́ ⏑ ⏑ – ⏖ ⏑ – – –́ ⏑ – ⏒

*Στρ. α'.*

Χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων
σύνδικον Μοισᾶν κτέανον· τᾶς ἀκούει μὲν βάσις, ἀγλαΐας
ἀρχά,

---

desunt AB (sed pro B adest Rom. et aliquando X^b) LNOΠ–Ω
Inscr. *Αἰτναίῳ* Heyne: *Αἰτναίῳ Συρακουσίῳ* Rom.: *Αἰτναίῳ καὶ Συρ.* Γ: *Συρακουσίῳ* diorth.: *Αἰτναίῳ ἢ Συρακουσίῳ*

with violet locks
measured step, movement festive joy

sign to do, begin something 'obey thy bidding'

ing the chorus, dance striking up, prelude

make quiver

spearman, pointed

lowing

Dr. aor. of χεσάω

r up, raise sc. the feathers
ering notes like pass. subdued cf. Ol. 9. 75.

far away

Ol. 7. 43.

haft of an arrow 'thy shafts' in, for

via distraught
Is. 7. 35

raised bank (of a river) dyke, dune

woolly, hairy, shaggy

all the year long a nurse

spit out, surge, break in foam

*πείθονται δ' ἀοιδοὶ σάμασιν,*
*ἁγησιχόρων ὁπόταν προοιμίων ἀμβολὰς τεύχῃς ἐλελιζόμενα.*
*καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις*
*ἀενάου πυρός. εὕδει δ' ἀνὰ σκάπτῳ Διὸς αἰετός, ὠκεῖαν πτέρυγ' ἀμφοτέρωθεν χαλάξαις,*

*Ἀντ. α'.*

*ἀρχὸς οἰωνῶν, κελαινῶπιν δ' ἐπί οἱ νεφέλαν*
*ἀγκύλῳ κρατί, γλεφάρων ἁδὺ κλάϊστρον, κατέχευας· ὁ δὲ κνώσσων*
*ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς*
*ῥιπαῖσι κατασχόμενος. καὶ γὰρ βιατὰς Ἄρης, τραχεῖαν ἄνευθε λιπὼν*
*ἐγχέων ἀκμάν, ἰαίνει καρδίαν*
*κώματι, κῆλα δὲ καὶ δαιμόνων θέλγει φρένας, ἀμφί τε Λατοίδα σοφίᾳ βαθυκόλπων τε Μοισᾶν.*

*Ἐπ. α'.*

*ὅσσα δὲ μὴ πεφίληκε Ζεὺς ἀτύζονται βοὰν*
*Πιερίδων ἀΐοντα, γᾶν τε καὶ πόντον κατ' ἀμαιμάκετον,*
*ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖται, θεῶν πολέμιος,*
*Τυφὼς ἑκατοντακάρανος· τόν ποτε*
*Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον· νῦν γε μὰν*
*ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι*
*Σικελία τ' αὐτοῦ πιέζει | στέρνα λαχνάεντα· κίων δ' οὐρανία συνέχει,*
*νιφόεσσ' Αἴτνα, πάνετες χιόνος ὀξείας τιθήνα·*

*Στρ. β'.*

*τᾶς ἐρεύγονται μὲν ἀπλάτου πυρὸς ἁγνόταται*

---

desunt AB (sed pro B adsunt Rom. et aliquando Xb) LNOΠ–Ω
**4** *ἀγησ.* diorth.[1] — *προυοιμίων* diorth.[1] **5** *αἰχμητὰν* PQΓ — *σβεννύης* Rom. **6** *ἀενάου* Rom. IPΘ diorth.: *ἀεννάου* — *εὕδει* (C ante corr.) FPQ — *σκάπτρῳ* diorth.[2] — *-ξαις* Rom. XbC: *-ξας* **8** *βλεφάρων* Rom. DIPQ: utrumque CUΓ — *κλάϊστρον* diorth.[2]: *κλαῖστρον μὰν* diorth.[1]: *κλᾶστρον* et *κλεῖθρον* C: *κλαῖστρον* — *κατέχευσας* PQ diorth.[1] **10** *κατασχόμενος* Rom. CM: *καταγχόμενος* **12** *κώματι* Rom. XbCM (Schol. Rom. et C): *κώμῳ* — *Λατοίδα* CDG?: *Λατοΐδα* **13** *ἀτύζονται* Rom. Xb CEΓ diorth. et bis apud Plutarchum: *ἀτύζηται* DG: *ἀτύζεται*: Schol. et sing. et plur. **16** *ἑκατοντοκάρανος* GI (diorth.[2]?): *ἑκατοντακάρηνος* V diorth.[1] **17** *ἄντρον*] *τ' ἄντρον* diorth.[1] **20** *τιθάνα* CM

*ἐκ μυχῶν παγαί· ποταμοὶ δ' ἁμέραισιν μὲν προχέοντι ῥόον καπνοῦ*
*αἴθων'· ἀλλ' ἐν ὄρφναισιν πέτρας*
*φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖαν φέρει πόντου πλάκα σὺν πατάγῳ.*
*κεῖνο δ' Ἁφαίστοιο κρουνοὺς ἑρπετὸν*
*δεινοτάτους ἀναπέμπει· τέρας μὲν θαυμάσιον προσιδέσθαι, θαῦμα δὲ καὶ παρεόντων ἀκοῦσαι,*

*Ἀντ. β'.*

*οἷον Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς*
*καὶ πέδῳ, στρωμνὰ δὲ χαράσσοισ' ἅπαν νῶτον ποτικεκλιμένον κεντεῖ.*
*εἴη, Ζεῦ, τὶν εἴη ἀνδάνειν,*
*ὃς τοῦτ' ἐφέπεις ὄρος, εὐκάρποιο γαίας μέτωπον, τοῦ μὲν ἐπωνυμίαν*
*κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν*
*γείτονα, Πυθιάδος δ' ἐν δρόμῳ κάρυξ ἀνέειπέ νιν ἀγγέλλων Ἱέρωνος ὑπὲρ καλλινίκου*

*Ἐπ. β'.*

*ἅρμασι. ναυσιφορήτοις δ' ἀνδράσι πρώτα χάρις*
*ἐς πλόον ἀρχομένοις πομπαῖον ἐλθεῖν οὖρον· ἐοικότα γὰρ*
*καὶ τελευτᾷ φερτέρου νόστου τυχεῖν. ὁ δὲ λόγος*
*ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει,*
*λοιπὸν ἔσσεσθαι στεφάνοισί νιν ἵπποις τε κλυτὰν*

---

desunt AB (sed pro B adest Rom. et aliquando $X^b$) LNO *Π—Ω*

**22** *πηγαί* EPQ — *ἀμέρ.* PQ **23** *αἴθων'* Rom. $X^b$CM diorth.: *αἴθωνος* PQUV: *αἴθωνα* DEFG*Γ* **26** *προσιδέσθαι* Rom. $X^b$CM (v. l. E) cum Gellio et cum antiquo codice Macrobii: *ἰδέσθαι* V: *τι ἰδέσθαι* diorth.[1]: *τι πυθέσθαι* diorth.[2]: *πυθέσθαι* — *παρεόντων* CM cum antiquo codice Macrobii: *ΠΑΡΕΝΤΩΝ* optimi mss. Gellii: *παρ' ἰόντων* diorth.[1]: *παριόντων* — *ΑΚΟΙCΑΙ* ant. cod. Macrobii: *ἀκοῦσαι* **28** *ἅπαντα* *Γ* **29** *τὶν εἴη*] *εἴη τὶν* Rom. — *ἁνδάνειν* Er. Schmid **30** *ἐφέποις* UV*Γ* **32** *κάρυξ* EIV diorth.: *κᾶρυξ* **33** *πρῶτον* diorth.[1]: *πρώτα* et *πρῶτα* **34** *ἐς πλόον*] *εἰς πλεῖν* (Schol. ad Nem. I in B et in Rom.) — *ἀρχομ.*] *ἐρχομ.* CM*Γ* (Schol. ad Nem. I in B et in Rom.) — *γὰρ*] *δ' ἐν* G. Hermann **35** *καὶ τελευτᾷ* $X^b$CPQ*Γ* diorth.[2]: *καὶ τελευτὰν* Böckh: *κἀν τελευτᾷ* diorth.[1] Rom.: *ἐν καὶ τελευτᾷ* — *φερτέρου* Rom. $X^b$ (C infra, E supra) IMP: *φερτέραν* (Dissen) Böckh: *φερτέρᾳ* **37** *ἔσσεσθαι* Rom. $X^b$: *ἔσεσθαι* — *στεφάνοισί νιν* Heyne: *νιν στεφάνοισιν* diorth.[1]: *ἐν στεφάνοισί τε* diorth.[2]: *στεφάνοισιν* — *ἵπποισί τε* Rom. $X^b$: *ἵπποισίν τε* diorth.[1]: *ἱππεία τε* VW

Ol. 1.71.

fem. of φοίνιξ red, dark red

streams, streams of blood

pitch
sc. Typhos

make sharp, cut into furrows, scratch

hold, guard protect

Etna forehead of Sicily

called after, by the name of

glorify

in connexion with'

abounding in good men & true

ready of tongue, eloquent

m. 7. 71. 'I hope that I ...   place of contest, arena, lists: ~~[illegible]~~ beside the mark

shake

Aeol. fr. ἀμεί'βοραι surpass, conquer

υνήσκω

highminded, lordly, honoured, warlike, noble

fawn on, pay court to, greet

[illegible]e 2.

*καὶ σὺν εὐφώνοις θαλίαις ὀνυμαστάν.*
*Λύκιε καὶ Δάλοι᾽ ἀνάσσων | Φοῖβε, Παρνασῷ τε κράναν*
*Κασταλίαν φιλέων,*
*ἐθελήσαις ταῦτα νόῳ τιθέμεν εὔανδρόν τε χώραν.*

Στρ. γ'.

*ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς,*
*καὶ σοφοὶ καὶ χερσὶ βιαταὶ περίγλωσσοί τ᾽ ἔφυν. ἄνδρα*
*δ᾽ ἐγὼ κεῖνον*
*αἰνῆσαι μενοινῶν ἔλπομαι*
*μὴ χαλκοπάραον ἄκονθ᾽ ὡσείτ᾽ ἀγῶνος βαλεῖν ἔξω πα-*
*λάμα δονέων,*
*μακρὰ δὲ ῥίψαις ἀμεύσασθ᾽ ἀντίους.*
*εἰ γὰρ ὁ πᾶς χρόνος ὄλβον μὲν οὕτω καὶ κτεάνων δόσιν*
*εὐθύνοι, καμάτων δ᾽ ἐπίλασιν παράσχοι.*

Ἀντ. γ'.

*ἦ κεν ἀμνάσειεν, οἵαις ἐν πολέμοισι μάχαις*
*τλάμονι ψυχᾷ παρέμειν᾽, ἁνίχ᾽ εὑρίσκοντο θεῶν παλά-*
*μαις τιμάν,*
*οἵαν οὔτις Ἑλλάνων δρέπει,*
*πλούτου στεφάνωμ᾽ ἀγέρωχον. νῦν γε μὰν τὰν Φιλοκτή-*
*ταο δίκαν ἐφέπων*
*ἐστρατεύθη· σὺν δ᾽ ἀνάγκᾳ νιν νόσου*
*καί τις ἐὼν μεγαλάνωρ ἔσανεν. φαντὶ δὲ Λαμνόθεν ἕλκει*
*τειρόμενον μετανάσσοντας ἐλθεῖν*

Ἐπ. γ'.

*ἥρωας ἀντιθέους Ποίαντος υἱὸν τοξόταν·*

---

desunt AB (sed pro B adest Rom. et aliquando X$^b$) LNO *Π–Ω*

**38** *θαλείαις* CM — *ὀνομ.* Rom. CMPQV? diorth.[1] **39** *Δάλοι᾽* (C corr.) diorth.[2]: *Δάλου* diorth.[1]: *Δάλοιο* — *Παρνασοῦ* (Böckh) Schol.?: *Παρνασῶ(ῷ)* CMDF diorth.: *Παρνασσῶ(ῷ)* **40** *εὐανδροῦν* G. Hermann **41** *θεοῦ* lemma C **42** *βιαταὶ* Rom. X$^b$ CDEF: *βιηταὶ* **44** *-πάρᾳον* Bergk: *-πάρειον* ER: *-πάραον* **45** *δ᾽ ἐκρίψας* diorth.[2] — *-ψαις* Rom. X$^b$: *-ψας* — *-σασθ᾽* Rom. DGP (Schol.) Eustath.: *-σεσθ᾽* — *ἐναντίους* CFM **46** *εἴ, γὰρ* Rom. P: *εἶ γὰρ* diorth.[1]: *εἴ γὰρ* **47** *ἀμμνάσειεν* Er. Schmid e Schol.: *ἀμνάσειεν* Böckh: *ἂν μνάσειεν* et *ἂν μνήσειεν* **48** *εὑ-ρίσκοιντο* X$^b$: *εὑρίσκοιτο Γ* diorth.[2] — *παλάμαις* diorth.: *παλάμαισι* **50** *Φιλοκτήταιο* X$^b$ **51** *ἀνάγκᾳ νιν νόσου* Mommsen e Schol.: *ἀναγκαίᾳ φίλον* G. Hermann: *ἀνάγκᾳ μιν φίλον* **52** *μετανάσσοντας* Wakefield: *μεταλλάσοντας* Rom. X$^b$ EFI*Γ* diorth. (Schol.): *μεταλάσσοντας* CUV: *μεταλλάσσοντας* DGMPQ

ὃς Πριάμοιο πόλιν πέρσεν, τελεύτασέν τε πόνους Δαναοῖς,
ἀσθενεῖ μὲν χρωτὶ βαίνων, ἀλλὰ μοιρίδιον ἦν.
οὕτω δ' Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι
τὸν προσέρποντα χρόνον, ὧν ἔραται καιρὸν διδούς.
Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι
πίθεό μοι ποινὰν τεθρίππων. | χάρμα δ' οὐκ ἀλλότριον νικαφορία πατέρος.
ἄγ' ἔπειτ' Αἴτνας βασιλεῖ φίλιον ἐξεύρωμεν ὕμνον·

Στρ. δ'.

τῷ πόλιν κείναν θεοδμήτῳ σὺν ἐλευθερίᾳ
Ὑλλίδος στάθμας Ἱέρων ἐν νόμοις ἔκτισσ'. ἐθέλοντι δὲ Παμφύλου
καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι
ὄχθαις ὕπο Ταϋγέτου ναίοντες αἰεὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ,
Δωριεῖς. ἔσχον δ' Ἀμύκλας ὄλβιοι
Πινδόθεν ὀρνύμενοι, λευκοπώλων Τυνδαριδᾶν βαθύδοξοι γείτονες, ὧν κλέος ἄνθησεν αἰχμᾶς.

Ἀντ. δ'.

Ζεῦ τέλει', αἰεὶ δὲ τοιαύταν Ἀμένα παρ' ὕδωρ
αἶσαν ἀστοῖς καὶ βασιλεῦσιν διακρίνειν, ἔτυμον λόγον ἀνθρώπων.
σύν τοι τίν κεν ἁγητὴρ ἀνήρ,
υἱῷ τ' ἐπιτελλόμενος, δᾶμον γεραίρων τράποι σύμφωνον ἐς ἡσυχίαν.
λίσσομαι νεῦσον, Κρονίων, ἅμερον

---

desunt AB (sed pro B adest Rom. et aliquando X[b]) LNO(Γ) Π–Ω
**54** τελεύτασάν τε X[b] — πόνους] πολλοὺς P **56** δ' Ἱέρωνι] βασιλεῖ?: δ', Ἱέρων, (et postea ἔρασαι) Mingarelli — θεὸς] τις G. Hermann **57** τὸν ποτιέρπ. diorth.[1]: τόν γε προσέρπ. diorth.[2] **58** πὰρ Rom. Z diorth.[3]: πὲρ diorth.[1]: περὶ (C corr.) MPQV: παρὰ (etiam X[b]) — Δινομ. EF **59** πίθεο diorth.[2]: πείθεο — δ' DMVZ diorth.: δὲ **61** κείναν] κλεινὰν CMEF — θεοδμήτῳ M: θεοδμάτῳ **62** ἔκτισσ'. ἐθέλοντι Böckh: ἔκτισσε. θέλοντι V diorth.: ἔκτισεν. ἐθέλ. CM: ἔκτισε. θέλ. — Παμφύλω EF **64** Αἰγιμίου X[b] **65** Δωριεῖς X[b]EFI (P infra) Schol.: Δωρίοις G. Hermann: Δωριῆς (etiam Rom.) **66** αἰχμῆς CM **67** αἰὲν M **69** τίν] τις C? M — ἁγητὴρ Rom. X[b]: ἀγητὴρ CEM: ἀγιστὴρ diorth.[1]: ἀγιστὴρ **70** τ'] γ' Bothe — δᾶμον γερ. CE diorth.: δᾶμόν τε γερ. — τρέπει diorth.[1] — ἐς ἡσ. CM diorth.[2] (Schol.): ἐφ' ἡσ. diorth.[1]: ἐφ' ἁσ. Heyne: ἡσ. (om. praepos.)

advantage, profit, fruit

recompense, reward

carpenter's line, law, rule of Hyllus

here = ὄλβος.

move, stir oneself

far famed, illustrious

of Amends

civilised, gentle

ds & its home    shout of victory, warcry, battle shout
lamentable loss of the ships

ask

o battles Sal. &    with crooked bow

for, through    pay, present
are overthrown

h time & quantity    Ol. 2. 30    'stretch together. bring together the issues
ny events in small compass'

er-ending, wearisome 'disgusting sickening surfeit'
alk of others praise grieves
poken (or heard by citizens

e, stir in passing: fate by chance from. intr. here.    it comes with great weight

*ὄφρα κατ' οἶκον ὁ Φοίνιξ ὁ Τυρσανῶν τ' ἀλαλατὸς ἔχῃ,*
*ναυσίστονον ὕβριν ἰδὼν τὰν πρὸ Κύμας·*

*Ἐπ. δ'.*

*οἷα Συρακοσίων ἀρχῷ δαμασθέντες πάθον,*
*ὠκυπόρων ἀπὸ ναῶν ὅ σφιν ἐν πόντῳ βάλεθ' ἁλικίαν,*
*Ἑλλάδ' ἐξέλκων βαρείας δουλείας. ἐρέομαι*
*πὰρ μὲν Σαλαμῖνος Ἀθαναίων χάριν*
*μισθόν, ἐν Σπάρτᾳ δ' ἐρέω πρὸ Κιθαιρῶνος μάχαν,*
*ταῖσι Μήδειοι κάμον ἀγκυλότοξοι,*
*παρὰ δὲ τὰν εὔυδρον ἀκτὰν | Ἱμέρα παίδεσσιν ὕμνον Δει-*
*νομένεος τελέσαις,*
*τὸν ἐδέξαντ' ἀμφ' ἀρετᾷ, πολεμίων ἀνδρῶν καμόντων.*

*Στρ. ε'.*

*καιρὸν εἰ φθέγξαιο, πολλῶν πείρατα συντανύσαις*
*ἐν βραχεῖ, μείων ἕπεται μῶμος ἀνθρώπων. ἀπὸ γὰρ κό-*
*ρος ἀμβλύνει*
*αἰανὴς ταχείας ἐλπίδας·*
*ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύνει μάλιστ' ἐσλοῖσιν*
*ἐπ' ἀλλοτρίοις.*
*ἀλλ' ὅμως, κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος,*
*μὴ παρίει καλά. νώμα δικαίῳ πηδαλίῳ στρατόν· ἀψευ-*
*δεῖ δὲ πρὸς ἄκμονι χάλκευε γλῶσσαν.*

*Ἀντ. ε'.*

*εἴ τι καὶ φλαῦρον παραιθύσσει, μέγα τοι φέρεται,*

---

desunt AB (sed pro B adest Rom. et aliquando $X^b$) LNO (*Γ*) *Π*–*Ω*

**72** *Φοίνιξ* E diorth.: *Φοῖνιξ* — *Ταρσαν ῶν* GIP — *ἀλαλητὸς* CMEF diorth.[2] — *ἔχοι* CME **73** *Συρακοσίων* Rom. DGI diorth.: *Συρρακοσίων* PUX: *Συρακουσίων* et *Συρρακουσίων* **74** *ὅς σφιν* Rom. E diorth. — *βάλετ' ἀλικίαν* EFQ: *βάλεθ' ἡλικίαν* MUV diorth.[1] **75** *δουλίας* diorth.[1] — *ἐρέομαι* (Schol. in Rom.) I a sec. m., *Δ* (Mingarelli): *αἰρέομαι* CME: *ἀρέομαι* Dawes: *αἱρέομαι* **76** *Ἀθηναίων* Rom. CMDGP **77** *Σπάρτῃ* CM — *ἐρέω* EF: *αἰρέω* E supra: *αἱρέω τὰν* PQ: *αὖ ἐρέω* diorth.[1]: *ἐρέων* Bothe: *ἐρέω τὰν* **78** *Μήδειοι κάμον* EF diorth.[1]: *Μῆδοι μὲν κάμον* diorth.[2]: *Μῆδοι κάμον* **79** *παρὰ δὲ* diorth.[2]: *πὰρ δέ γε* diorth.[1]: *πὰρ δὲ* — *εὔανδρον* C? M (EF a pr. m.) — *Δεινομένευς* diorth.[1] — *-έσαις* Rom. $X^b$ diorth.[1]: *-έσας*, *-έσσας*, *-έσσαις* **80** *χαμνόντων* EF **81** *-ύσαις* Rom. $X^b$ CM: *-ύσσας* P: *-ύσας* **82** *μεῖον* CM **83** *αἰανὸς* (DVX supra) diorth.[2] — *ἐλπίδας*] *ἀπάδις* Rom. $X^b$: *ἀπίδας* Pauw: *θαπίδας*? **84** *ἐσθλοῖσιν* CMD diorth.[2] **85** *κρείσσων* et *κρεῖσσον* DEFM — *οἰκτιρμῶν* Rom. PQV diorth.[1]: *οἰκτιρμοῦ* CDEF*Γ* diorth.[2] (apud Stobaeum et Herodianum etc.)

*πὰρ σέθεν. πολλῶν ταμίας ἐσσί· πολλοὶ μάρτυρες ἀμφοτέροις πιστοί.*
*εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων,*
*εἴπερ τι φιλεῖς ἀκοὰν ἁδεῖαν αἰεὶ κλύειν, μὴ κάμνε λίαν δαπάναις·*
*ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ*
*ἱστίον ἀνεμόεν. μὴ δολωθῇς, ὦ φίλος, εὐτραπέλοις κέρδεσσ'· ὀπιθόμβροτον αὔχημα δόξας*

Ἐπ. ε'.

*οἶον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει*
*καὶ λογίοις καὶ ἀοιδοῖς. οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά·*
*τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα νηλέα νόον*
*ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις,*
*οὐδέ νιν φόρμιγγες ὑπωρόφιαι κοινωνίαν*
*μαλθακὰν παίδων ὀάροισι δέκονται.*
*τὸ δὲ παθεῖν εὖ πρῶτον ἀέθλων· | εὖ δ' ἀκούειν δευτέρα μοῖρ'· ἀμφοτέροισι δ' ἀνὴρ*
*ὃς ἂν ἐγκύρσῃ, καὶ ἕλῃ, στέφανον ὕψιστον δέδεκται.*

---

desunt AB (sed pro B adest Rom. et aliquando X b) LNO (*Γ*) *Π–Ω*

**88** *ἀμφοτέροις* diorth.: *ἀμφοτέροισι* **90** *ἡδεῖαν* EFPQV — *αἰεὶ* diorth.[1]: *ἀεὶ* **91** *ὥσπερ* CM diorth.[1] (Schol.): *ὥστε* **92** *ἀνεμόεν* Rom.: *ἀνεμόεν πετάσαις* X b CM: *ἀμπετάσας* diorth.: *ἀνεμόεν πετάσας* — *δολωθεὶς* (Schol. U) *ΘΛ* — *ὦ φίλος* G. Hermann: *φίλε* Rom.: *ὦ φίλε* — *εὐτρ. κέρδεσσ'* Oxoniensis: *εὐτρ. κέρδεσ'* diorth.[1]: *κέρδεσιν εὐτρ.* (*ἐντρ.* CMFI) — *ὀπιθόμβρ.* diorth.[1]: *ὀπισόβρ.* diorth.[2]: *ὀπισθόμβρ.* et *ὀπιστόμβρ.* — *καύχημα* PQ **93** *οἶον* Rom. IU diorth.: *οἶον* CFPQ*ΘΛ*: utrumque DEG Schol. **94** *φθινεῖ* Er. Schmid **95** *χαυστῆρα* PQ **96** *ἐχθρὰ*] *αἰσχρὰ* Schol.? — *παντᾷ* G: *πάντα* EF diorth.[2]: *παντᾶ* **97** *νιν* Mommsen: *μιν* — *φόρμιγγές τε* diorth.[1]: *αἱ φόρμιγγες* diorth.[2] — *ὑπωρώφιαι* CM **98** *μαλθακᾶν* CM — *δέκονται* Böckh: *δέχονται* **99** *εὖ δὲ παθεῖν τὸ πρ.* Er. Schmid — *ἄθλων* diorth.[1]

'to thy deeds both good and bad'.

blooming, fresh, goodly, noble temper

beguile, ensnare
'juggling games' T. with what goes before.
plur. cunning arts, wiles, tricks

tricky, dishonest, timeserving
following a mortal, that lives after a man

versed in tales, "chronicler," annalist

Kindly-minded, affable

'weigheth him down' 'surround encompass'
under the roof, sounding in a hall
'suffer, receive him into gentle fellowship with the speech of'
familiar converse: song, lay

prizes
lot

plunged deep in war

t mighty city

fighting | or exulting | in iron.

... own might ..'

the inner p... was a treasure ... royal palace was there.

or

# ΠΥΘΙΟΝΙΚΑΙ Β΄.

# ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι

## ΑΡΜΑΤΙ.

---

### Strophae.

⏑ ⏔́ ⏔́ ⏑ – ⏑ – ⏑ – ⏑ ⏔ ⏑ ⏓
⏔̽ ⏑ –́ ⏑ ⏑ – ×́ ⏒ –́ ⏑ ⏑ – ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏓
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓
– –́ ⏑ ⏔́ ⏑ – ⏑ –́ ⏑ ⏑ ⏓
– –́ ⏑ ⏔́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏔̽ ⏑ –́ ⏑ ⏑ – ⏔́ ⏑ – –́ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏒

### Epodi.

⏔̽ ⏑ –́ ⏑ ⏑ – ⏑ – ×́ ⏑ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏑ – ×́ ⏑ –́ ⏑ ⏑ ⏓
⏑ –́ –́ ⏑ ⏑ – ⏑ – ⏔̽ ⏑ –́ ⏑ ⏑ ⏓
⏑ –́ –́ ⏑ ⏑ – ⏑ – ⏔̽ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ – ⏑ –
⏔̽ ⏑ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏓
⏒ –́ ⏑ – ×́ ⏒ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏓
⏑ –́ –́ ⏑ ⏑ – –́ ⏑ –
– –́ ⏑ –́ ⏑ ⏑ ⏓
⏑ –́ ×́ ⏑ –́ ⏑ ⏑ – ⏑ – ×́ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏒

*Στρ. α΄.*

Μεγαλοπόλιες ὦ Συράκοσαι, βαθυπολέμου
τέμενος Ἄρεος, ἀνδρῶν ἵππων τε σιδαροχαρμᾶν δαιμόνιαι τροφοί,
ὔμμιν τόδε τᾶν λιπαρᾶν ἀπὸ Θηβᾶν φέρων
μέλος ἔρχομαι ἀγγελίαν τετραορίας ἐλελίχθονος,
εὐάρματος Ἱέρων ἐν ἇ κρατέων
τηλαυγέσιν ἀνέδησεν Ὀρτυγίαν στεφάνοις,
ποταμίας ἕδος Ἀρτέμιδος, ἇς οὐκ ἄτερ
κείνας ἀγαναῖσιν ἐν χερσὶ ποικιλανίους ἐδάμασσε πώλους.

---

desunt AB (sed pro B adest Rom. et aliquando X b) LNO (*Γ*) *Π–Ω*

**1** *Συράκοσαι* Rom. I X diorth.: *Συρράκοσαι Δ*: *Συρ[ρ]άκοσσαι* et *Συρ[ρ]άκουσαι* — *βαθυπτολ.* DGI*Δ* **2** *σιδηροχ.* CEV diorth.[1] **3** *ὔμμιν* diorth.: *ὕμμιν* **7** *ἇς* G. Hermann: *τᾶς*

Ἀντ. α'.

ἐπὶ γὰρ ἰοχέαιρα παρθένος χερὶ διδύμᾳ
ὅ τ' ἐναγώνιος Ἑρμᾶς αἰγλᾶεντα τίθησι κόσμον, ξεστὸν ὅταν δίφρον
ἔν θ' ἅρματα πεισιχάλινα καταζευγνύῃ
σθένος ἵππεϊον, ὀρσοτρίαιναν εὐρυβίαν καλέων θεόν.
ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ
εὐαχέα βασιλεῦσιν ὕμνον, ἄποιν' ἀρετᾶς.
κελαδέοντι μὲν ἀμφὶ Κινύραν πολλάκις
φᾶμαι Κυπρίων, τὸν ὁ χρυσοχαῖτα προφρόνως ἐφίλησ' Ἀπόλλων,

Ἐπ. α'.

ἱερέα κτίλον Ἀφροδίτας· ἄγει δὲ χάρις φίλων ποί τινος ἀντὶ ἔργων ὀπιζομένα·
σὲ δ', ὦ Δεινομένειε παῖ, Ζεφυρία πρὸ δόμων
Λοκρὶς παρθένος ἀπύει, πολεμίων καμάτων ἐξ ἀμαχάνων
διὰ τεὰν δύναμιν δρακεῖσ' ἀσφαλές.
θεῶν δ' ἐφετμαῖς Ἰξίονα φαντὶ ταῦτα βροτοῖς
λέγειν ἐν πτερόεντι τροχῷ
παντᾷ κυλινδόμενον·
τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς ἐποιχομένους τίνεσθαι.

Στρ. β'.

ἔμαθε δὲ σαφές. εὐμενέσσι γὰρ παρὰ Κρονίδαις
γλυκὺν ἑλὼν βίοτον, μακρὸν οὐχ ὑπέμεινεν ὄλβον, μαινομέναις φρασὶν
Ἥρας ὅτ' ἐράσσατο, τὰν Διὸς εὐναὶ λάχον
πολυγαθέες· ἀλλά νιν ὕβρις εἰς ἀυάταν ὑπεράφανον
ὦρσεν· τάχα δὲ παθὼν ἐοικότ' ἀνὴρ
ἐξαίρετον ἕλε μόχθον. αἱ δύο δ' ἀμπλακίαι

---

desunt AB (sed pro B adest Rom. et aliquando etiam X b) LNO (Γ) Π–Ω

9 χερὶ CMV diorth.: χειρὶ 10 αἰγλάεντα I: αἰγλήεντα U: αἰγλάντα et αἰγλᾶντα 11 ἔν τ' ἅρματα CDGV 12 ἵππιον F: ἵππεον diorth.[1] 14 εὐαυχέα DGPΓ diorth.[2] 16 -χαῖτα Rittershausen: -χαίτα diorth.[1]: -χαίτας — ἐφίλασ' Rom. diorth.[1] 17 ποί τινος Pauw: πότ τινος Schol.?: ποίνιμος Spigel: ποῖτινος V: ποίτινος 19 ἀμηχ. Rom. X 20 δρακοῦσ' E: δρακοῖσ' X diorth.[1] — ἀσφαλῶς PQ diorth.[1] 22 ἐν πυρόεντι diorth.[1] 24 ἐπερχομένους V diorth.[1] 26 μακρόν γ' diorth.[1] — φρασὶν CDGVΓ diorth.[2]: φρεσὶν 28 πολυγαθέες Rom. CDVX diorth.[1]: πολυγαθέος — εἰς diorth.[2]: ἐπ' EF: ἐς — ὑπερφίαλον CV 30 ἕλε diorth.[1] (Schol.): ἔχε IMΔ: ἔσχε

perh. = bands of twain cf. [illegible] χεῖρ. "both hands" [illegible]

cf. 86.

Pyth. 1.79.

everyway

[illegible]

from receiving enemy

ἄτη = ἀάτη = ἀϝάτη and this ded. fruit.

[illegible]

… fr. the right way, [illegible]

… is Aeolic: so perh. ἵκον. connected with name Ἰξίων too.

the verse above.

… gods have free. cf. ἐν Διὸς ἀρχῇ. also 'customs' = 'conversation.'

= λαός ..

*φερέπονοι τελέθοντι· τὸ μὲν ἥρως ὅτι*
*ἐμφύλιον αἷμα πρώτιστος οὐκ ἄτερ τέχνας ἐπέμιξε θνατοῖς·*

*Ἀντ. β'.*

*ὅτι τε μεγαλοκευθέεσσιν ἔν ποτε θαλάμοις*
*Διὸς ἄκοιτιν ἐπειρᾶτο. χρὴ δὲ κατ' αὐτὸν αἰεὶ παντὸς ὁρᾶν μέτρον.*
*εὐναὶ δὲ παράτροποι ἐς κακότατ' ἀθρόαν*
*ἔβαλον· ποτὶ καὶ τὸν ἵκοντ'· ἐπεὶ νεφέλᾳ παρελέξατο,*
*ψεῦδος γλυκὺ μεθέπων, ἄϊδρις ἀνήρ·*
*εἶδος γὰρ ὑπεροχωτάτᾳ πρέπεν Οὐρανίδα*
*θυγατέρι Κρόνου· ἅντε δόλον αὐτῷ θέσαν*
*Ζηνὸς παλάμαι, καλὸν πῆμα. τὸν δὲ τετράκναμον ἔπραξε δεσμόν,*

*Ἐπ. β'.*

*ἑὸν ὄλεθρον ὅγ'· ἐν δ' ἀφύκτοισι γυιοπέδαις πεσὼν τὰν πολύκοινον ἀνδέξατ' ἀγγελίαν.*
*ἄνευ οἱ Χαρίτων τέκεν γόνον ὑπερφίαλον,*
*μόνα καὶ μόνον, οὔτ' ἐν ἀνδράσι γερασφόρον οὔτ' ἐν θεῶν νόμοις·*
*τὸν ὀνύμαξε τράφοισα Κένταυρον, ὃς*
*ἵπποισι Μαγνητίδεσσι ἐμίγνυτ' ἐν Παλίου*
*σφυροῖς, ἐκ δ' ἐγένοντο στρατὸς*
*θαυμαστός, ἀμφοτέροις*
*ὁμοῖοι τοκεῦσι, τὰ ματρόθεν μὲν κάτω, τὰ δ' ὕπερθε πατρός.*

*Στρ. γ'.*

*θεὸς ἅπαν ἐπὶ ἐλπίδεσσι τέκμαρ ἀνύεται,*

---

desunt AB (sed pro B adest Rom. et aliquande Xb) LNO (*Γ*) *Π–Ω*

**31** *ὅτι* G. Hermann: *ὅθην* diorth.¹: *ὅτι τ'* **34** *κατ' αὐτὸν* Thiersch: *καθ' αὐτὸν* (*ἑαυτὸν*) **35** *κακότητ'* CMPQV diorth.¹ — *ἀθρόαν*] *ὀρθίαν*(?) v. l. apud Schol.: *ἀθρόως* PQ **36** *ἔβαλον, ποτὶ τὸν καὶ ἵκοιντ'· ἐπεὶ?* *ἔβαλον, ποτὶ κοῖτον ἰκὼν ἐπεὶ* Fr. Jacobs — *ποτὶ*] *ποτὲ* M: utrumque C — *ποτε κ. τ. ἑκόντ'* Bothe: *ποτε κ. τ. ἰδόντ'* Aug. Mommsen **38** *Οὐρανίδα* e Schol. Bergk: *-νία* Rom.: *-νίαν* et corr. *-νιῶν* CM: *-νιᾶν* **39** *ἅντε* Rom. E diorth.²: *τάν τε* CMV diorth.¹: *ἅν ποτε* **41** *ἀνδέξατ'* diorth.¹: *ἀνεδέξατ'* **42** *ἄνευ δ' οἱ* Rom. PQ: *ἄνευ δέ οἱ* X diorth.¹: *ἄνευ οἱ* (etiam Aristarchus) **43** *ἀνδράσι*] *ἀνθρώποισι* CMV **44** *ὀνύμαζε* CEM — *τραφοῖσα* diorth.¹ **45** *ἐν*] *ἀν* apud Galenum **49** *τέκμωρ* CMV

*θεός, ὃ καὶ πτερόεντ' αἰετὸν κίχε, καὶ θαλασσαῖον παραμείβεται*
*δελφῖνα, καὶ ὑψιφρόνων τιν' ἔκαμψε βροτῶν,*
*ἑτέροισι δὲ κῦδος ἀγήραον παρέδωκ'. ἐμὲ δὲ χρεὼν*
*φεύγειν δάκος ἀδινὸν κακαγοριᾶν.*
*εἶδον γὰρ ἑκὰς ἐὼν τὰ πόλλ' ἐν ἀμαχανίᾳ*
*ψογερὸν Ἀρχίλοχον βαρυλόγοις ἔχθεσιν*
*πιαινόμενον· τὸ πλουτεῖν δὲ σὺν τύχᾳ πότμου σοφίας, ἄριστον.*

*Ἀντ. γ'.*

*τὺ δὲ σάφα νιν ἔχεις, ἐλευθέρᾳ φρενὶ πεπαρεῖν,*
*πρύτανι κύριε πολλᾶν μὲν εὐστεφάνων ἀγυιᾶν καὶ στρατοῦ. εἰ δέ τις*
*ἤδη κτεάτεσσί τε καὶ περὶ τιμᾷ λέγει*
*ἕτερόν τιν' ἀν' Ἑλλάδα τῶν πάροιθε γενέσθαι ὑπέρτερον,*
*χαύνᾳ πραπίδι παλαιμονεῖ κενεᾷ.*
*εὐανθέα δ' ἀναβάσομαι στόλον ἀμφ' ἀρετᾷ*
*κελαδέων. νεότατι μὲν ἀρήγει θράσος*
*δεινῶν πολέμων· ὅθεν φαμὶ καὶ σὲ τὰν ἀπείρονα δόξαν εὑρεῖν,*

*Ἐπ. γ'.*

*τὰ μὲν ἐν ἱπποσόαισιν ἄνδρεσσι μαρνάμενον, τὰ δ' ἐν πεζομάχαισι· βουλαὶ δὲ πρεσβύτεραι*
*ἀκίνδυνον ἐμοὶ ἔπος σὲ ποτὶ πάντα λόγον*
*ἐπαινεῖν παρέχοντι. χαῖρε. τόδε μὲν κατὰ Φοίνισσαν ἐμπολὰν*
*μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται·*
*τὸ Καστόρειον δ' ἐν Αἰολίδεσσι χορδαῖς θέλων*

---

desunt A et usque ad v. 56 incl. B (sed pro B adest Rom. et aliquando etiam X[b]); LNO *Γ Π–Ω*

**50** *αἰητὸν* diorth.[1] **51** *ἔκαμψεν* K diorth.[2]: *ἔκναμψε* CU: *ἔκναψε* I*Δ* **52** *ἑτάροισι* V **53** *κακαγοριᾶν* CW (Schol.): *κακαγορίαν* Rom. V *κακουργιᾶν* X: *κακηγοριᾶν* **54** *ἀμηχ.* CEMQV **55** *-λόγοις* Rom. diorth.: *-λόγοισι* **56** *σοφίας* cum prioribus coniungunt Rom. PQ Schol. (diorth.): cum sqq. DGU **57** *σάφα*] *τάχα* M — *πεπορεῖν* X diorth.[1]: utrumque V **58** *μὲν*] *μὰν* diorth.[1] **59** *κτεάνοισι* CMV diorth.[1] **61** *χαῦνα* D? — *κενεά* I Pauw **65** *ἄνδρεσσι* G. Hermann: *ἀνδράσι* — *πεζομάχοισι* CMV diorth.[1] **66** *ἐμὸν* R (v. l. apud Schol. diorth.[2]) — *σὲ ποτὶ π.* Bergk: *ποτὶ σὲ π.* Böckh: *ποτί ῥα π.* diorth.[1]: *ποτὶ ἄπ.* diorth.[2]: *ποτὶ π.* **69** *θέλων*] *ἑκὼν* Böckh

reach, overtake

with πλοῦτον makes an oxymoron

πλοῦτον σὺν σοφίᾳ

prow

• Farewell including first part I

sc. τῷ κατοικείῳ ...

 ... now that I have told thee what it is [illegible] from experience. ὅ now that thou knowest

sc. slandered, and listener. female suggesters: purveyors

earnest, exceeding Tr. ὅ relentless

in the sea

 ... 'the rest of ...' not to be dipped, that will not sink cork N. 3.51

 ... ture of metaphor & simile.

 ... metaph. from arching back & δορσαίνω G, breakage: curve, bending: crooked arts, deceit

Weave together, plait: try every twist, wind all ways

run in under, make a secret attack

 ... now here now there

 ... .31. speak [illegible] straight to one's point

tramp, conduct to

people δῆμος, δῆμος & educated class

Aed. ἐπινυστάσ...

Dat. ὑποφήτης = suggestions

better √ανθανσκω. = ὑποστάτης

ἄθρησον χάριν, ἑπτακτύπου
φόρμιγγος ἀντόμενος.
γένοι' οἷος ἐσσὶ μαθών. καλός τοι πίθων παρὰ παισὶν αἰεί.

Στρ. δ'.

καλός· ὁ δὲ Ῥαδάμανθυς εὖ πέπραγεν, ὅτι φρενῶν
ἔλαχε καρπὸν ἀμώμητον, οὐδ' ἀπάταισι θυμὸν τέρπεται ἔνδοθεν·
οἷα ψιθύρων παλάμαις ἕπετ' αἰεὶ βροτῷ.
ἄμαχον κακὸν ἀμφοτέροις διαιβολιᾶν ὑποφᾶτιες,
ὀργαῖς ἀτενὲς ἀλωπέκων ἴκελοι.
κέρδει δέ· τί μάλα τοῦτο κερδαλέον τελέθει;
ἅτε γὰρ εἰνάλιον πόνον ὀχεοίσας βαθὺ
σκευᾶς ἑτέρας, ἀβάπτιστός εἰμι, φελλὸς ὣς ὑπὲρ ἕρκος ἅλμας.

Ἀντ. δ'.

ἀδύνατα δ' ἔπος ἐκβαλεῖν κραταιὸν ἐν ἀγαθοῖς
δόλιον ἀστόν· ὅμως μὰν σαίνων ποτὶ πάντας, ἀγὰν πάγχυ διαπλέκει.
οὔ οἱ μετέχω θράσεος. φίλον εἴη φιλεῖν·
ποτὶ δ' ἐχθρὸν ἅτ' ἐχθρὸς ἐὼν λύκοιο δίκαν ὑποθεύσομαι,
ἄλλ' ἄλλοτε πατέων ὁδοῖς σκολιαῖς.
ἐν πάντα δὲ νόμον εὐθύγλωσσος ἀνὴρ προφέρει,
παρὰ τυραννίδι, χὠπόταν ὁ λάβρος στρατός,
χὤταν πόλιν οἱ σοφοὶ τηρέωντι. χρὴ δὲ πρὸς θεὸν οὐκ ἐρίζειν,

---

desunt A LNO Γ Π–Ω

71 ἀντώμενος DFGKPΔ 72 γένοι' diorth.²: γενοῦ δ' Mingarelli: γένοι B: γένοιο δ' (etiam lemma B) — τοι] τις Stephanus — ἀεὶ BFGKPΔ — αἰεὶ cum prioribus coniungunt B diorth.² Galenus: cum sqq. Er. Schmid 74 ἀμωμήτων Fr. Jacobs 75 βροτῷ Heindorf: βροτῶν 76 διαιβολιᾶν Bergk: διαβολιᾶν — ὑποφάτορες Bothe: ὑποφαύτιες Böckh: ὑποφάντιες (E lemma) R: ἀποφάτιες PQ 77 ἴκ. CPT diorth.: ἴκ. 78 κέρδει δέ· τί DEHIP Schol.: κέρδει δὲ·τί BQU diorth.¹: κερδοῖ δὲ τί Huschke — τοῦτο μάλα CMV — κ. τελ.] κερδαλέον. τί δή οἱ B 79 εἰνάλιον diorth.: ἐνάλιον — ὀχεοίσας Ahlwardt: ὀχοίσας B: ἐχοίσας 80 ἕρκεος CMV diorth.¹ — ἕρκος, ἅλμας Bothe 82 μὰν] μὲν PQU — ἀγὰν Böckh: ἄταν Heyne: ἄγραν Bergk: ἄγαν — διάπλεκε v. l. in Schol. semibarbaro 84 ἐὼν] ἰὼν Huschke — δίκαν] ἔχθραν diorth.¹? 86 νόμον CKV diorth.¹ (Schol.): νόμὸν E: νομὸν 87 χ' ὠπότ' ἂν B — λαῦρος BDG 88 χ' ὦτ' ἂν B — τηρέωντι DGPQV diorth.¹: τηρέοντι

*Ἐπ. δ'.*

*ὃς ἀνέχει τοτὲ μὲν τὰ κείνων, τότ' αὖθ' ἑτέροις ἔδωκεν*
*μέγα κῦδος. ἀλλ' οὐδὲ ταῦτα νόον*
*ἰαίνει φθονερῶν· στάθμας δέ τινος ἑλκόμενοι*
*περισσᾶς ἐνέπαξαν ἕλκος ὀδυνᾶρὸν ἑᾷ πρόσθε καρδίᾳ,*
*πρὶν ὅσα φροντίδι μητίονται τυχεῖν.*
*φέρειν δ' ἐλαφρῶς ἐπαυχένιον λαβόντα ζυγὸν*
*ἀρήγει· ποτὶ κέντρον δέ τοι*
*λακτιζέμεν τελέθει*
*ὀλισθηρὸς οἶμος. ἀδόντα δ' εἴη με τοῖς ἀγαθοῖς ὁμιλεῖν.*

---

desunt A LNO *Γ Π–Ω*

**89** *ἀνέχῃ* DGI — *τοτὲ*] *ποτὲ* DX diorth.[1] — *τὰ κείνων* BC: *τὰ 'κείνων* PU diorth.[2]: *τἀκείνων* — *τότ' αὖθ'* diorth.[2]: *ἰδ' αὖθ'* diorth.[1]: *τότ' αὖ δ'* Er. Schmid: *τοτὲ δ' αὖθ'* — *νόον*] *νόσον* B lemma: *νόον γ'* diorth.[2] **90** *φθονερὸν* K — *στάθμαν Θ* — *τινας* C infra (prius Schol.?) **90. 91** *ἑλκόμενος π. ἐνέπαξεν* BM: utrumque CV infra: (in Schol. plur.) — *περισσᾶν* M: *περισσὰς* prius Schol.? **92** *μητίονται*] *μηχανῶνται* B? Rom. **93** *ζυγόν γ'* diorth. **95** *λακτισδέμεν* CMV diorth.[1] **96** *ἀδόντα* BC diorth.[2]: *ἁδόντα* EV: *ᾅδοντα* M: *ἄδοντα*

---

## ΠΥΘΙΟΝΙΚΑΙ Γ'.

# ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι

### ΚΕΛΗΤΙ.

---

**Strophae.**

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒

**Epodi.**

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓

'uphold'

Olymp. 7. 43

'dragging to ~~one~~ them selves more than ~~ones~~ their fair sha

cf. 'give him an inch and he'll take an ell'.

cf. in sing. one's after 'they

help, succour : it is food, fit

…ect it be'

'conceived of all'

of Pelion. Aeol. for θηρ. with dat. wild

= φιλάνθρωπον

strengthening the limbs

…. 22.

the birth tending mothers

'slain in her chamber'. Gil. ἐν θ. δόμον εἰς Ἀι.

…. 26/10 nc.
… ἀθαλίζει and Pyth. 8.91.
be ~~account~~ content with, accept

treat slightingly, make no account of, disparage
sc. λόγον.

without knowledge of

pure, genuine sc. not bringing disgrace with it. ?

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒
⏑ ⏑ –́ ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓

Στρ. α΄.

Ἤθελον Χείρωνά κε Φιλυρίδαν,
εἰ χρεὼν τοῦθ᾽ ἁμετέρας ἀπὸ γλώσσας κοινὸν εὔξασθαι ἔπος,
ζώειν τὸν ἀποιχόμενον,
Οὐρανίδα γόνον εὐρυμέδοντα Κρόνου, βάσσαισί τ᾽ ἄρχειν Παλίου Φῆρ᾽ ἀγρότερον,
νοῦν ἔχοντ᾽ ἀνδρῶν φίλον· οἷος ἐὼν θρέψεν ποτὲ
τέκτονα νωδυνίας ἅμερον γυιαρκέος Ἀσκληπιόν,
ἥρωα παντοδαπᾶν ἀλκτῆρα νούσων.

Ἀντ. α΄.

τὸν μὲν εὐίππου Φλεγύα θυγάτηρ
πρὶν τελέσσαι ματροπόλῳ σὺν Ἐλειθυίᾳ, δαμεῖσα χρυσέοις
τόξοισιν ὕπ᾽ Ἀρτέμιδος,
εἰς Ἀΐδαο δόμον θαλάμῳ κατέβα τέχναις Ἀπόλλωνος. χόλος δ᾽ οὐκ ἀλίθιος
γίνεται παίδων Διός. ἁ δ᾽ ἀποφλαυρίξαισά νιν
ἀμπλακίαισι φρενῶν, ἄλλον αἴνησεν γάμον κρύβδαν πατρός,
πρόσθεν ἀκειρεκόμᾳ μιχθεῖσα Φοίβῳ,

Ἐπ. α΄.

καὶ φέροισα σπέρμα θεοῦ καθαρόν.

---

desunt A LNO Γ–Ω

**1** Φιλυρίδαν (D ante corr.) I (Schol. BG passim): Φιλλυρίδαν **4** εὐρυμέδοντος CM: utrumque EFQ — Φᾶρ᾽ P **5** νόον] νοῦν diorth.[2] **6** τέκνον ἀνωδ. BPQUX diorth.[1]: τέκτον᾽ ἀνωδ. et τέκτονα νωδ. (etiam Schol. utrumque) — -υνιᾶν et γυιαρκέων G. Hermann — Ἀσκλήπιον G. Hermann: Ἀσκληπιὸν EM: Ἀσκλαπιὸν **7** ἅρωα B — παντοδαπῶν B diorth.[2] — ἀλεκτῆρα BEF **8** Φλεγύα DFGI diorth.[1]: Φλεγέα diorth.[2]: Φλεγυία **11** Ἀΐδα diorth. — θαλάμῳ (om. ἐν) Mommsen: ἐν θαλάμῳ **12** γίγνεται M diorth.[1] — -ξαισα Er. Schmid: -ξασα — νιν CMV diorth.[1]: μιν **13** ἀμβλ. et ἀμπλ. I — κρύβαν B **14** ἀκειρεκ. BCMV: δ᾽ ἀκειρεκ. diorth.[1]: ἀκερσεκ. Versum **15** cum antecedentibus coniungunt FV Schol.: cum sqq. BDQ

*οὐκ ἔμειν᾽ ἐλθεῖν τράπεζαν νυμφίαν*
*οὐδὲ παμφώνων ἰαχὰν ὑμεναίων, ἅλικες*
*οἷα παρθένοι φιλέοισιν ἑταῖραι*
*ἑσπερίαις ὑποκουρίζεσθ᾽ ἀοιδαῖς· ἀλλά τοι*
*ἤρατο τῶν ἀπεόντων· οἷα καὶ πολλοὶ πάθον.*
*ἔστι δὲ φῦλον ἐν ἀνθρώποισι ματαιότατον,*
*ὅστις αἰσχύνων ἐπιχώρια παπταίνει τὰ πόρσω,*
*μεταμώνια θηρεύων ἀκράντοις ἐλπίσιν.*

*Στρ. β'.*

*ἔσχε τοιαύταν μεγάλαν ἀυάταν*
*καλλιπέπλου λῆμα Κορωνίδος. ἐλθόντος γὰρ εὐνάσθη ξένου*
*λέκτροισιν ἀπ᾽ Ἀρκαδίας.*
*οὐδ᾽ ἔλαθε σκοπόν· ἐν δ᾽ ἄρα μηλοδόκῳ Πυθῶνι τόσσαις ἄϊεν ναοῦ βασιλεὺς*
*Λοξίας, κοινᾶνι παρ᾽ εὐθυτάτῳ γνώμαν πιθὼν*
*πάντα ἴσαντι νόῳ· ψευδέων δ᾽ οὐχ ἅπτεται· κλέπτει τέ νιν*
*οὐ θεὸς οὐ βροτὸς ἔργοις οὔτε βουλαῖς.*

*Ἀντ. β'.*

*καὶ τότε γνοὺς Ἴσχυος Εἰλατίδα*
*ξεινίαν κοίταν ἄθεμίν τε δόλον, πέμψεν κασιγνήταν μένει*
*θύοισαν ἀμαιμακέτῳ*
*ἐς Λακέρειαν. ἐπεὶ παρὰ Βοιβιάδος κρημνοῖσιν ᾤκει παρθένος. δαίμων δ᾽ ἕτερος*
*ἐς κακὸν τρέψαις ἐδαμάσσατό νιν· καὶ γειτόνων*
*πολλοὶ ἐπαῦρον, ἁμᾶ δ᾽ ἔφθαρεν. πολλάν τ᾽ ὄρει πῦρ ἐξ ἑνὸς*
*σπέρματος ἐνθορὸν ἀΐστωσεν ὕλαν.*

---

desunt A LNO *Γ–Ω*

**16** *οὐκ*] *οὐδ᾽* Aldina (diorth.[1]?) — *νυμφίαν* I diorth.[1]: *νυμφιδίαν* **18** *παρθέννοι* diorth.[1] — *φιλέουσιν* EFPQV diorth.[1] **24** *τοιαύταν* C? MI Schol.: *τοι ταύταν* — *ἀάταν* diorth.[1]? **25** *λῆμμα* CMDPQ **27** *μηδοδόκῳ* EFGIQ: utrumque CDP diorth.[2] — *τόσσαις ἄϊε* CM: *τόσσ᾽ ἐσάϊε* B: *τόσεσ* et *τόσσ᾽ ἄϊε* V: *τόσσας ἄϊε(ν)* **28** *κοινῶνι* X diorth.[1] — *γνώμαν πιθὼν* Er. Schmid: *γνώμᾳ πιθὼν* Böckh: *γνώμαν πεπιθὼν* B (D corr.) EGI Schol.: *γνώμαν πυθὼν* diorth.[2]: *γνώμᾳ πεπιθὼν* **29** om. *δ᾽* EF — *νιν* Böckh: *μιν* **31** *Ἰσχύος* BC? diorth.[1] **32** *ξειν.* diorth.: *ξεν.* **34** *Μοιβιάδος* B **35** *τρέψαις* B: *τρέψας* **36** *ἁμᾷ* Aldina: *ἁμᾶι* Q: *ἁμᾶ*: utrumque Schol. — *δ᾽*] *γ᾽* CM — *τ᾽* Schol. B: *δ᾽* diorth.[1] (Schol. G): *δ᾽ ἐν* — *ἐξ* om. diorth.[2]

with ἐλ. but ἀλλ. acc. after ἔρεισε.

with all tones, many-toned

bridal song

Coax, soothe with soft names

'things otherwhere'

dishonour, disdain

gaze, look about. timorous advance.

O. 12. 6.

= cook. not αἴξ.

gives idea of selfwill.

P. 2. 28

Pass. be bedded with..

e.g. in sacrifice

Dor. for τόσσας aor. part. of unkn

τυγχάνω happen to be √τοκ cf. τόξον, akin to √τυχ

cf. ἀπέτοσσε.

= κοινωνός

his all-knowing mind'

'in this hath he no part'

'having persuaded his own h

of a stranger.

rush along, storm, rage

Isth. 7. 35

'was the home of her virginity' [illegible] of [illegible] Ol. 3.

= evil

'blast her life'

no dig. ie. partake of, have had enjoyment of = have suffered loss ~~from~~.

dat. after ἐνθεεῖν.

sc. funeral pyre.

'go on from slaying the mother.'

'he was there'

shews light through, 'parted its flames' so as allow passage

dweller in Magnesia in Thessaly

selfcaused

one who possesses something in common with others, jointowner; afflicted by sores

bright, lustrous

large pebble, stone

t from, deliver from

soft, gentle, soothing draughts

Aeol. form fasten about, apply to

right, well: restored them.

desire of gain

P. co. [illegible]

'glittering in his hand'

'smote the twain of them through the midst' sc. κεραυνόν.

'meet for mortal souls' after ποιῶ.

and, at once h.s. 'stretching from the foot, sc. before us'.

Dor. aor. 1.

Ἐπ. β'.

ἀλλ' ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ
σύγγονοι κούραν, σέλας δ' ἀμφέδραμεν
λάβρον Ἁφαίστου, τότ' ἔειπεν Ἀπόλλων· Οὐκέτι
τλάσομαι ψυχᾷ γένος ἁμὸν ὀλέσσαι
οἰκτροτάτῳ θανάτῳ ματρὸς βαρείᾳ σὺν πάθᾳ.
ὣς φάτο· βάματι δ' ἐν πρώτῳ κιχὼν παῖδ' ἐκ νεκροῦ
ἅρπασε· καιομένα δ' αὐτῷ διέφαινε πυρά·
καί ῥά νιν Μάγνητι φέρων πόρε Κενταύρῳ διδάξαι
πολυπήμονας ἀνθρώποισιν ἰᾶσθαι νόσους.

Στρ. γ'.

τοὺς μὲν ὦν, ὅσσοι μόλον αὐτοφύτων
ἑλκέων ξυνάονες, ἢ πολιῷ χαλκῷ μέλη τετρωμένοι
ἢ χερμάδι τηλεβόλῳ,
ἢ θερινῷ πυρὶ περθόμενοι δέμας ἢ χειμῶνι, λύσαις ἄλλον
ἀλλοίων ἀχέων
ἔξαγεν, τοὺς μὲν μαλακαῖς ἐπαοιδαῖς ἀμφέπων,
τοὺς δὲ προσανέα πίνοντας, ἢ γυίοις περάπτων πάντοθεν
φάρμακα, τοὺς δὲ τομαῖς ἔστασεν ὀρθούς.

Ἀντ. γ'.

ἀλλὰ κέρδει καὶ σοφία δέδεται.
ἔτραπεν καὶ κεῖνον ἀγάνορι μισθῷ χρυσὸς ἐν χερσὶν φανεὶς
ἄνδρ' ἐκ θανάτου κομίσαι
ἤδη ἁλωκότα· χερσὶ δ' ἄρα Κρονίων ῥίψαις δι' ἀμφοῖν
ἀμπνοὰν στέρνων κάθελεν
ὠκέως, αἴθων δὲ κεραυνὸς ἐνέσκιμψεν μόρον.
χρὴ τὰ ἐοικότα πὰρ δαιμόνων μαστευέμεν θναταῖς φρασίν,
γνόντα τὸ πὰρ ποδός, οἵας εἰμὲν αἴσας.

Ἐπ. γ'.

μή, φίλα ψυχά, βίον ἀθάνατον

---

desunt A LNO Γ–Ω

**40** τότ' ἔειπεν CMV diorth.[1]: τότε εἶπεν — ἁμὸν] ἐμὸν EFPQ **43** πρώτῳ] τριτάτῳ Aristarchus **44** διέφανε DMPQ: utrumque C **45** νιν Mommsen: μιν **46** νούσους BGI **48** συναόνες B **49** χερμαδίῳ diorth.[1] **50** λύσαις BDGI: λύσας **52** περάπτων CMEIQ: περιάπτων **55** καὶ κεῖνον Böckh: κἀκεῖνον **57** ἁλωκ. Er. Schmid: ἑαλωκ. — ῥίψαις B: ῥίψᾳς G: ῥίψας — δι'] δ' CMEF — ἀμπνοὰς apud Clementem Alex. — κάθελεν diorth.[1]: ἔβαλεν diorth.[2]: καθεῖλεν **58** ἐνέσκηψε(ν) BIPQ cum Eusebio et Schol. B **59** φρασὶν Böckh: φρεσὶ(ν) **60** γνόντας CMIPQ — ἦμεν CM

σπεῦδε, τὰν δ' ἔμπρακτον ἄντλει μαχανάν.
εἰ δὲ σώφρων ἄντρον ἔναι' ἔτι Χείρων, καί τί οἱ
φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι
ἁμέτεροι τίθεν· ἰατῆρά τοί κέν νιν πίθον
καί νυν ἐσλοῖσι παρασχεῖν ἀνδράσιν θερμᾶν νόσων
ἤ τινα Λατοΐδα κεκλημένον ἢ πατέρος.
καί κεν ἐν ναυσὶν μόλον Ἰονίαν τάμνων θάλασσαν
Ἀρέθουσαν ἐπὶ κράναν παρ' Αἰτναῖον ξένον,

Στρ. δ'.

ὃς Συρακόσσαισι νέμει βασιλεύς,
πραῢς ἀστοῖς, οὐ φθονέων ἀγαθοῖς, ξείνοις δὲ θαυμα-
στὸς πατήρ.
τῷ μὲν διδύμας χάριτας,
εἰ κατέβαν ὑγίειαν ἄγων χρυσέαν κῶμόν τ' ἀέθλων Πυ-
θίων αἴγλαν στεφάνοις,
τοὺς ἀριστεύων Φερένικος ἕλ' ἐν Κίρρᾳ ποτέ·
ἀστέρος οὐρανίου φαμὶ τηλαυγέστερον κείνῳ φάος
ἐξικόμαν κε βαθὺν πόντον περάσαις.

Ἀντ. δ'.

ἀλλ' ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω
Ματρί, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον σὺν Πανὶ μέλ-
πονται θαμὰ
σεμνὰν θεὸν ἐννύχιαι.
εἰ δὲ λόγων συνέμεν κορυφάν, Ἱέρων, ὀρθὰν ἐπίστᾳ,
μανθάνων οἶσθα προτέρων·
ἓν παρ' ἐσλὸν πήματα σύνδυο δαίοντι βροτοῖς
ἀθάνατοι. τὰ μὲν ὦν οὐ δύνανται νήπιοι κόσμῳ φέρειν,
ἀλλ' ἀγαθοί, τὰ καλὰ τρέψαντες ἔξω.

---

desunt A LNO Γ–Ω

**62** μηχανάν CMV **63** ἔναι' diorth.[1]: ἔναιεν — καί τί οἱ] τί τέ οἱ diorth.[2] **64** ἐν BG diorth.[1]: om. ἐν **65** ἀμετ. DPQ — νιν Böckh: μιν **66** καί νυν Er. Schmid: νῦν τε diorth.[2]: καὶ νῦν — ἐσθλοῖσι CM **67** κεκλαμένον diorth.[1] **68** τάμνων Mommsen: τέμνων **69** Ἀρέθοισαν Bergk **70** Συρρακούσαισι CM **71** ξένοις GIPQ — δὲ] τε DGIPQ diorth.[2] **74** ἕλ' ἐν Pauw: ἕλε(ν) **75** κείνῳ] τήνῳ M **76** πόντον] πόρον CMV — περάσαις Rom.: περάσσαις B: περήσας diorth.[2]: περάσας et περάσσας **78** μέλποντι CMV **80** ἐπίστᾳ] ἐπίεται B **81** δαίοντι Mommsen: δέοντι Schol. A ad Ol. I, 97: δαίνυνται apud Plutarchum: δαίονται et δαΐονται

within one's power to do

drain dry. make the most of

'means, reso

sc. feverish

'Lato's son.'

= be the son of.

abs. hold sway at.

aristocrats × lower ἀστοῖς

x 81. emph. on ἐγώ. 'Had I but landed there and brought unto him a ....' the apod. is ἀστέρα

to be a 'splendour, glory' for his crowns of

O. 6. 4.

= συναῖναι inf. aor. of συνίημι

substance, true sense

'from men of old'

divide

'turn the best side outmost. of a garment'.

4.

look favourably on

reality with ὁ δὲ N.

gift of prophecy.

'sitting as kings on...'

…en in exile   Mid. change one's condition, escape from   'raise to gladness'

however, nevertheless

…as his mother'

leave behind, leave hold of, lose

'in wisdom hath'..

. 'have good hap and suffer good at the hands..'

…ῆρος

fall heavily upon

Ἐπ. δ'.

τὶν δὲ μοῖρ' εὐδαιμονίας ἕπεται.
λαγέταν γάρ τοι τύραννον δέρκεται,
εἴ τιν' ἀνθρώπων, ὁ μέγας πότμος. αἰὼν δ' ἀσφαλὴς
οὐκ ἔγεντ' οὔτ' Αἰακίδᾳ παρὰ Πηλεῖ
οὔτε παρ' ἀντιθέῳ Κάδμῳ· λέγονται μὰν βροτῶν
ὄλβον ὑπέρτατον οἳ σχεῖν, οἵτε καὶ χρυσαμπύκων
μελπομενᾶν ἐν ὄρει Μοισᾶν καὶ ἐν ἑπταπύλοις
ἄϊον Θήβαις, ὁπόθ' Ἁρμονίαν γᾶμεν βοῶπιν,
ὁ δὲ Νηρέος εὐβούλου Θέτιν παῖδα κλυτάν.

Στρ. ε'.

καὶ θεοὶ δαίσαντο παρ' ἀμφοτέροις,
καὶ Κρόνου παῖδας βασιλῆας ἴδον χρυσέαις ἐν ἕδραις, ἕδνα τε
δέξαντο· Διὸς δὲ χάριν
ἐκ προτέρων μεταμειψάμενοι καμάτων ἔστασαν ὀρθὰν καρδίαν. ἐν δ' αὖτε χρόνῳ
τὸν μὲν ὀξείαισι θύγατρες ἐρήμωσαν πάθαις
εὐφροσύνας μέρος αἱ τρεῖς· ἀτὰρ λευκωλένῳ γε Ζεὺς πατὴρ
ἤλυθεν ἐς λέχος ἱμερτὸν Θυώνᾳ.

Ἀντ. ε'.

τοῦ δὲ παῖς, ὅνπερ μόνον ἀθανάτα
τίκτεν ἐν Φθίᾳ Θέτις, ἐν πολέμῳ τόξοις ἀπὸ ψυχὰν λιπὼν
ὦρσεν πυρὶ καιόμενος
ἐκ Δαναῶν γόον. εἰ δὲ νόῳ τις ἔχει θνατῶν ἀλαθείας ὁδόν, χρὴ πρὸς μακάρων
τυγχάνοντ' εὖ πασχέμεν. ἄλλοτε δ' ἀλλοῖαι πνοαὶ
ὑψιπετᾶν ἀνέμων. ὄλβος οὐκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται,
οἷς, πολὺς εὖτ' ἂν ἐπιβρίσῃ, ἕπηται.

---

desunt A LNO Γ–Ω

**85** τοι] που diorth.[1]: om. τοι CMEFV: ποι? **87** οὐκ ἔγεντ' οὔτ' DGIPQ diorth.[2]: γείνετ' οὔθην diorth.[1]: οὐκ ἐγένετ' οὔτ' **88** μὰν (om. γε) diorth.: γε μὰν **94** ἕδνα EPV diorth.[1]: ἔδνα **98** om. γε D: γ' αὖ G. Hermann **99** ἤλθεν CMV **100** ἀθάνατος EF **102** ὦρσε(ν) πυρὶ CMV diorth.: ὦρσεν ἐν πυρὶ **103** ἀληθ. EF **104** πνοιαὶ CMV **105** ὑψιπετῶν BD — οὐκ (om. δ') diorth.[2]: δ' οὐκ **106** οἷς, πολὺς Mommsen: πάμπολυς Dissen: ὃς πολὺς — εὖ τ' ἂν Heyne — ἐπιβρίσῃ Mommsen: ἐπιβρίσαις Böckh: ἐπιβρίσας — ἕπεται FPQ

Ἐπ. ε'.

σμικρὸς ἐν σμικροῖς, μέγας ἐν μεγάλοις
ἔσσομαι· τὸν δ' ἀμφέποντ' αἰεὶ φρασὶν
δαίμον' ἀσκήσω κατ' ἐμὰν θεραπεύων μαχανάν.
εἰ δέ μοι πλοῦτον θεὸς ἁβρὸν ὀρέξαι,
ἐλπίδ' ἔχω κλέος εὑρέσθαι κεν ὑψηλὸν πρόσω.
Νέστορα καὶ Λύκιον Σαρπηδόν', ἀνθρώπων φάτις,
ἐξ ἐπέων κελαδεννῶν, τέκτονες οἷα σοφοὶ
ἅρμοσαν, γινώσκομεν. ἁ δ' ἀρετὰ κλειναῖς ἀοιδαῖς
χρονία τελέθει. παύροις δὲ πράξασθ' εὐμαρές.

---

desunt A LNO Γ–Ω

**108** αἰεὶ BZ diorth.[1]: ἀεὶ — φρεσὶ MPQ diorth.[1] **109** μηχ. CPQ **111** κεν] καὶ CV **113** κέλαδε(ν), νῶν τέκτονες CMFPQV **114** ἅρμοσαν, γινώσκομεν. ἁ δ' ἀρετὰ e Schol. Er. Schmid: ἅρμοσαν. γινωσκομένα (GPQV γιγνωσκομένα) δ' ἀρετὰ

---

## ΠΥΘΙΟΝΙΚΑΙ Δ'.

# ΑΡΚΕΣΙΛᾼ ΚΥΡΗΝΑΙῼ

### ΑΡΜΑΤΙ.

**Strophae.**

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓ –́ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒ –́ – ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –́ ⏑ ⏓
⏗́ ⏑ – ⏓ –́ ⏑ – ⏒

**Epodi.**

– ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓

---

desunt A LNO Γ–Ω

Inscr. Ἀρκεσίλᾳ C: Ἀρκεσιλάῳ

'where my means are small.'

abs. be busy about; 'that attends one' 'I will reveren

cf. 110.

'I shall win' &c. as well as πλοῦτος. [illegible]"

henceforth, hereafter '

acc. plur. subject of a sagis. theme of. 'af

highsounding

'such as'..

'songs of glory'

'to achieve them.'

famed for horses

-ngles fled East & West and met at the ὀμφαλός.

-s A. absent then'..  priestess

-, proclaim him the coloniser' 'ordain to be'..

"how that he "straightway ~~might~~ should"  victorious in the chariot race

bright shining, white  round hill, knoll

recall to mind, bring to pass, 'redeem'

spoken at Th.

passionate

form of aor.

Mid. plant for oneself.  an object of care, love to men

foundations. sc. place where his temple stands

bring quite to an end. with inf. bring it at last to be.

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ ⏓
–́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑́ – –́ ⏑ ⏖ – –́ ⏑ – ⏒

*Στρ. α'.*

Σάμερον μὲν χρή σε παρ' ἀνδρὶ φίλῳ
στᾶμεν, εὐΐππου βασιλῆϊ Κυράνας, ὄφρα κωμάζοντι σὺν Ἀρκεσίλᾳ,
Μοῖσα, Λατοΐδαισιν ὀφειλόμενον Πυθῶνί τ' αὔξῃς οὖρον ὕμνων,
ἔνθα ποτὲ χρυσέων Διὸς αἰετῶν πάρεδρος
οὐκ ἀποδάμου Ἀπόλλωνος τυχόντος ἱέρεα
χρῆσεν οἰκιστῆρα Βάττον καρποφόρου Λιβύας, ἱερὰν
νᾶσον ὡς ἤδη λιπὼν κτίσσειεν εὐάρματον
πόλιν ἐν ἀργίνοεντι μαστῷ,

*Ἀντ. α'.*

καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαι
ἑβδόμᾳ καὶ σὺν δεκάτᾳ γενεᾷ Θήραιον, Αἰήτα τό ποτε ζαμενὴς
παῖς ἀπέπνευσ' ἀθανάτου στόματος, δέσποινα Κόλχων. εἶπε δ' οὕτως
ἡμιθέοισιν Ἰάσονος αἰχματᾶο ναύταις·
Κέκλυτε, παῖδες ὑπερθύμων τε φωτῶν καὶ θεῶν·
φαμὶ γὰρ τᾶσδ' ἐξ ἁλιπλάκτου ποτὲ γᾶς Ἐπάφοιο κόραν
ἀστέων ῥίζαν φυτεύσεσθαι μελησίμβροτον
Διὸς ἐν Ἄμμωνος θεμέθλοις.

*Ἐπ. α'.*

ἀντὶ δελφίνων δ' ἐλαχυπτερύγων ἵππους ἀμείψαντες θοάς,
ἁνία τ' ἀντ' ἐρετμῶν δίφρους τε νωμάσοισιν ἀελλόποδας.
κεῖνος ὄρνις ἐκτελευτάσει μεγαλᾶν πολίων

---

desunt A LNO *Γ–Ω*

**2** *στᾶμεν* CEF diorth.: *στάμεν'* BD: *στάμεν* **3** *Λατοίδ.* Er. Schmid: *Λατοΐδ.* — *αὔξαις* CM **4** *Διὸς αἰετῶν*] *Διὸς αἰητῶν* diorth.[1]: *ἀετῶν Ζηνὸς* diorth.[2] **5** *ἱέρεα*] *γ'*, *ἷρεα* diorth.[1]: *ἱερὰ* diorth.[2]: *ἱρέα* Böckh **7** *κτίσσειεν* EFGIPQ diorth.[2]: *κτήσειεν* D: *κτίσαιεν* **8** *ἀργήεντι* diorth.[2]: *ἀργάεντι* G. Hermann **9** *ἀγκομίσαι* (lemma B) Schol.: *ἐγκομίσαιθ'* CM: *ἀγκομίσαιθ'* **12** *ἡμιθέοις τοῖς Ἰάσ.* diorth.[2] — *αἰχμητᾶο* diorth.[1] **14** *ἀλιπλάγκτου* CMEV diorth.[1] **18** *ἐρετμᾶν* PU — *νωμάσσοισιν* C: *νωμάσουσιν* EFPQ diorth.[1]

ματρόπολιν Θήραν γενέσθαι, τόν ποτε Τριτωνίδος ἐν προχοαῖς
λίμνας θεῷ ἀνέρι εἰδομένῳ γαῖαν διδόντι
ξείνια πρῴραθεν Εὔφαμος καταβὰς
δέξατ᾽· αἴσιον δ᾽ ἐπί οἱ Κρονίων Ζεὺς πατὴρ ἔκλαγξε βροντάν·

Στρ. β'.

ἁνίκ᾽ ἄγκυραν ποτὶ χαλκόγενυν
ναΐ κρημνάντων ἐπέτοσσε, θοᾶς Ἀργοῦς χαλινόν. δώδεκα δὲ πρότερον
ἁμέρας ἐξ Ὠκεανοῦ φέρομεν νώτων ὕπερ γαίας ἐρήμου
εἰνάλιον δόρυ, μήδεσιν ἀνσπάσσαντες ἀμοῖς.
τουτάκι δ᾽ οἰοπόλος δαίμων ἐπῆλθεν, φαιδίμαν
ἀνδρὸς αἰδοίου πρόσοψιν θηκάμενος· φιλίων δ᾽ ἐπέων
ἄρχετο, ξείνοις ἅτ᾽ ἐλθόντεσσιν εὐεργέται
δεῖπν᾽ ἐπαγγέλλοντι πρῶτον.

Ἀντ. β'.

ἀλλὰ γὰρ νόστου πρόφασις γλυκεροῦ
κώλυεν μεῖναι. φάτο δ᾽ Εὐρύπυλος Γαιαόχου παῖς ἀφθίτου Ἐννοσίδα
ἔμμεναι· γίνωσκε δ᾽ ἐπειγομένους· ἂν δ᾽ εὐθὺς ἁρπάξαις ἀρούρας
δεξιτερᾷ προτυχὸν ξένιον μάστευσε δοῦναι.
οὐδ᾽ ἀπίθησέ νιν, ἀλλ᾽ ἥρως ἐπ᾽ ἀκταῖσιν θορὼν
χειρί οἱ χεῖρ᾽ ἀντερείσαις δέξατο βώλακα δαιμονίαν.
πεύθομαι δ᾽ αὐτὰν κατακλυσθεῖσαν ἐκ δούρατος
ἐναλίαν βᾶμεν σὺν ἅλμᾳ,

---

desunt A LNO Γ—Ω

**20** τόν] τήν B **22** πρῴραθεν Bergk: πρώραθεν — Εὔφαμος B: Εὔφημος **23** δ᾽] τ᾽ C? M **26** ἐρήμου EF Schol.: ἐρήμων **27** εἰνάλιον diorth.: ἐνάλιον — μήδεσ᾽ diorth.[1] — ἀνσπάσσαντες Mingarelli: ἀνσπάσαντες BCGI diorth.[2]: ἀσπάσαντες PQ: ἀνασπάσαντες — ἀμοῖς diorth.: ὠμοῖς CM **30** ἄρχετο BF (P corr.): ἄρχεται — ξείνοις B diorth.: ξένοις **31** δεῖπν᾽] δέπας Mommsen **32** γλυκερᾶς PQ **34** γίγνωσκε B? DFGPQ: γίνωσκε (etiam lemma B) — -ξαις B: -ξας **35** προτυχὼν et προτυχὸν BC?: προτυχὼν M: προτυχὸν et προστυχὸν FP: προστυχὸν IR: προτυχὸν (etiam Chaeris apud Schol.?) **36** νιν] ἰν G. Hermann: οἱ Hartung **37** -σαις B: -σας **39** ἐναλίαν Thiersch e Schol. priore: ἐναλίου Jo. Fr. Meyer: ἐναλία et ἐναλίᾳ (cum altero Schol.) — βάμεν CMD GIPQ: utrumque BF

'receive at the hands of'

let sound in answer to.

Da.an. without prep. = ἐπέτυχε fell in with cf. τόσσας

= τότε traversed by sheep, solitary, lonely, single

announce: promise

occasion, superficial cause. plea.

'he said he was...'

haste to go

ἀπίθησεν ἰν (= οἱ)

n.3.22.

Ἐπ. β'.

ἑσπέρας ὑγρῷ πελάγει σπομέναν. ἦ μάν νιν ὤτρυνον θαμὰ
λυσιπόνοις θεραπόντεσσιν φυλάξαι· τῶν δ' ἐλάθοντο φρένες·
καί νυν ἐν τᾷδ' ἄφθιτον νάσῳ κέχυται Λιβύας
εὐρυχόρου σπέρμα πρὶν ὥρας. εἰ γὰρ οἴκοι νιν βάλε πὰρ χθόνιον
Ἄιδα στόμα, Ταίναρον εἰς ἱερὰν Εὔφαμος ἐλθών,
υἱὸς ἱππάρχου Ποσειδάωνος ἄναξ,
τόν ποτ' Εὐρώπα Τιτυοῦ θυγάτηρ τίκτε Καφισοῦ παρ' ὄχθαις·

Στρ. γ'.

τετράτων παίδων κ' ἐπιγεινομένων
αἷμά οἱ κείναν λάβε σὺν Δαναοῖς εὐρεῖαν ἄπειρον. τότε γὰρ μεγάλας
ἐξανίστανται Λακεδαίμονος, Ἀργείου τε κόλπου, καὶ Μυκηνᾶν.
νῦν γε μὲν ἀλλοδαπᾶν κριτὸν εὑρήσει γυναικῶν
ἐν λέχεσιν γένος, οἵ κεν τάνδε σὺν τιμᾷ θεῶν
νᾶσον ἐλθόντες τέκωνται φῶτα κελαινεφέων πεδίων
δεσπόταν· τὸν μὲν πολυχρύσῳ ποτ' ἐν δώματι
Φοῖβος ἀμνάσει θέμισσιν

Ἀντ. γ'.

Πύθιον ναὸν καταβάντα χρόνῳ
ὑστέρῳ νάεσσι πολεῖς ἀγαγὲν Νείλοιο πρὸς πῖον τέμενος Κρονίδα.
ἦ ῥα Μηδείας ἐπέων στίχες. ἔπταξαν δ' ἀκίνητοι σιωπᾷ
ἥρωες ἀντίθεοι πυκινὰν μῆτιν κλύοντες.
ὦ μάκαρ υἱὲ Πολυμνάστου, σὲ δ' ἐν τούτῳ λόγῳ

---

desunt A LNO Γ–Ω (et inde a v. 57 fere omnino diorth.²)

**40** *ἑσπέρας* cum sqq. coniungunt diorth.² et Schol.: cum antecedd. CUV diorth.¹ — *νιν*] *μιν* CMV diorth.¹ — *ὄτρυνον* BCMFIV diorth.¹ — *θαμᾶ* CMV **41** *λυσιπόνοισι* CMV **42** *καί νυν* diorth.²: *καὶ νῦν* — *ἀφθίτῳ* DIR Schol. **43** *εὐρυχόρου* BFGIV diorth.¹: *εὐρυχώρου* (etiam Schol.) — *νιν*] *μιν* CMV **44** *Ἄιδα* Böckh: *Ἄϊδα* EF: *Ἀΐδα* **45** *Ποσειδάονος* BPQ **46** *τίκτε* Schol. CMV diorth.: *τίκτει* — *Καφισσοῦ* IU **50** *μὲν* diorth.: *μὰν* **51** *λεχέεσσι* CM — *τάδε* B: *τάνσε* P **54** *ἀμνάσει* CMQV (diorth.¹?): *ἀμμνάσει* **55** *καταβάντα χρόνῳ* Er. Schmid: *καταβάντα. χρόνῳ δ'* **56** *ἀγαγὲν* (E corr.) PQV diorth.¹: *ἀγαγεῖν* CM: *ἄγαγε(ν)* **57** *ἦ ῥα Μηδεία γ' ἐπέων στίχας* Matthiae — *ἔπτασαν* PQ

χρησμὸς ὤρθωσεν μελίσσας Δελφίδος αὐτομάτῳ κελάδῳ·
ἅ σε χαίρειν ἐς τρὶς αὐδάσαισα πεπρωμένον
βασιλέ' ἄμφανεν Κυράνᾳ,

Ἐπ. γ'.

δυσθρόου φωνᾶς ἀνακρινόμενον ποινὰ τίς ἔσται πρὸς θεῶν.
ἦ μάλα δὴ μετὰ καὶ νῦν, ὦτε φοινικανθέμου ἦρος ἀκμᾷ,
παισὶ τούτοις ὄγδοον θάλλει μέρος Ἀρκεσίλας·
τῷ μὲν Ἀπόλλων ἅ τε Πυθὼ κῦδος ἐξ ἀμφικτιόνων
ἔπορεν
ἱπποδρομίας. ἀπὸ δ' αὐτὸν ἐγὼ Μοίσαισι δώσω
καὶ τὸ πάγχρυσον νάκος κριοῦ· μετὰ γὰρ
κεῖνο πλευσάντων Μινυᾶν, θεόπομποί σφισιν τιμαὶ
φύτευθεν.

Στρ. δ'.

τίς γὰρ ἀρχὰ δέξατο ναυτιλίας;
τίς δὲ κίνδυνος κρατεροῖς ἀδάμαντος δῆσεν ἅλοις; θέσφα-
τον ἦν Πελίαν
ἐξ ἀγαυῶν Αἰολιδᾶν θανέμεν χείρεσσιν ἢ βουλαῖς ἀκάμ-
πτοις.
ἦλθε δέ οἱ κρυόεν πυκινῷ μάντευμα θυμῷ,
πὰρ μέσον ὀμφαλὸν εὐδένδροιο ῥηθὲν ματέρος·
τὸν μονοκρήπιδα πάντως ἐν φυλακᾷ σχεθέμεν μεγάλᾳ,
εὖτ' ἂν αἰπεινῶν ἀπὸ σταθμῶν ἐς εὐδείελον
χθόνα μόλῃ κλειτᾶς Ἰωλκοῦ,

Ἀντ. δ'.

ξεῖνος αἴτ' ὦν ἀστός. ὁ δ' ἆρα χρόνῳ
ἵκετ' αἰχμαῖσιν διδύμαισιν ἀνὴρ ἔκπαγλος· ἐσθὰς δ'
ἀμφοτέρα νιν ἔχεν,

---

desunt A LNO Γ–Ω (et pars maxima diorth.²)

**61** ἐστρὶς lemma B: εἰς τρὶς — αὐδάσαισα Böckh: αὐδάσαισαι B: αὐδάσασα **62** Κυράνας BF diorth.¹: Κυράνης P: Κυρήνᾳ diorth.² **63** δυσερόου B: δυσαθρόου CM **64** ὦτε Bergk: ὥστε BU: πού γε diorth.¹: omittunt reliqui — ἦρος ἀκμᾷ CMEFV diorth.¹: τε ἦρος ἐν ἀκμᾷ diorth.²: ἦρος ἐν ἀκμᾷ **65** τούτοις] τούτου diorth.² — μέρος] μέλος (C corr.) MPQ **66** ἀμφικτιόνων Böckh: ἀμφικτυόνων **70** τίς γὰρ] τί γὰρ diorth.¹?: τίς μὲν diorth.² — ἀρχὰ δέξατο E? Oxoniensis: ἀρχὴ δέξατο diorth.¹: ἀρχὰν δέξατο Lonicerus: ἄρχ' ἐδέξατο **72** ἀκάμπτοις C? G. Hermann: ἀκάμποις C? M: ἀκνάπτοις diorth.¹: ἀγνάμπτοις I: ἀκνάμπτοις **73** οἱ κρ.] ὀκρυόεν M **77** κλυτᾶς PQ **78** αἴτ'] εἴτ' C corr. — ὦν] ὧν BEFI: utrumque Schol. — ἆρα Böckh: ἄρα **79** ἀμφοτέρα EF Schol.: ἀμφότερόν — νιν Böckh: μιν

spring prime cf. 'the point of d

fleece

occupy, engage. sc. αὐτούς.
quidve ofadamant' – nail

with θανέμεν

with but one sandal

sc. Earth

high, steep    dwelling, abode    sc. [illegible] points the sun, sunny

dress, clothing

O. 3. 36.

cf horrida grando. 'that makes men shudder'

cf. 6.10

unwincing, unflinching

look reverently on

the subjunct.

ἅ τε Μαγνήτων ἐπιχώριος ἁρμόζοισα θαητοῖσι γυίοις,
ἀμφὶ δὲ παρδαλέᾳ στέγετο φρίσσοντας ὄμβρους·
οὐδὲ κομᾶν πλόκαμοι κερθέντες ᾤχοντ' ἀγλαοί,
ἀλλ' ἅπαν νῶτον καταίθυσσον. τάχα δ' εὐθὺς ἰὼν σφετέρας
ἐστάθη γνώμας ἀταρμύκτοιο πειρώμενος
ἐν ἀγορᾷ πλήθοντος ὄχλου.

'Επ. δ'.

τὸν μὲν οὐ γίνωσκον· ὀπιζομένων δ' ἔμπας τις εἶπεν καὶ τόδε·
Οὔ τι που οὗτος Ἀπόλλων, οὐδὲ μὰν χαλκάρματός ἐστι πόσις
Ἀφροδίτας· ἐν δὲ Νάξῳ φαντὶ θανεῖν λιπαρᾷ
Ἰφιμεδείας παῖδας, Ὦτον καὶ σέ, τολμάεις Ἐφιάλτα ἄναξ.
καὶ μὰν Τιτυὸν βέλος Ἀρτέμιδος θήρευσε κραιπνόν,
ἐξ ἀνικάτου φαρέτρας ὀρνύμενον,
ὄφρα τις τᾶν ἐν δυνατῷ φιλοτάτων ἐπιψαύειν ἔρᾶται.

Στρ. ε'.

τοὶ μὲν ἀλλάλοισιν ἀμειβόμενοι
γάρυον τοιαῦτ'· ἀνὰ δ' ἡμιόνοις ξεστᾷ τ' ἀπήνᾳ προτροπάδαν Πελίας
ἵκετο σπεύδων· τάφε δ' αὐτίκα παπτάναις ἀρίγνωτον πέδιλον
δεξιτερῷ μόνον ἀμφὶ ποδί. κλέπτων δὲ θυμῷ
δεῖμα προσέννεπε· Ποίαν γαῖαν, ὦ ξεῖν', εὔχεαι
πατρίδ' ἔμμεν; καὶ τίς ἀνθρώπων σε χαμαιγενέων πολιᾶς
ἐξανῆκεν γαστρός; ἐχθίστοισι μὴ ψεύδεσιν
καταμιάναις εἰπὲ γένναν.

---

desunt A LNO Γ–Ω (et magna pars diorth.[2])

**81** παρδάλεα C: παρδάλε', ἃ Schol.?: παρδαλέᾳ (GI) et παρδαλέα **82** κόμαν BDGQ: utrumque CPV — ᾤχοντ' Böckh: οἴχοντ' **83** -σσον] -σσαν PQR **84** ἀταρμύκτοιο G. Hermann: ἀταρβύκτοιο lemma E: ἀταρβήκτοιο (Schol. DG): ἀταρβήτοιο lemma F: ἀταρβάτοιο Rom.: ἀταρβάκτοιο **86** οὐ γίν. CMEIV diorth.: οὐκ ἐγίν. B: οὐ γίγν. DFGPQU **87** τι] τοι CM **89** Ἐπιάλτα apud Schol. Homeri et Crameri Anecdot. Par. **92** τᾶν] τῶν CMEV diorth.[1] — ἐρᾶται Böckh **94** ἀνὰ] ἐπὶ B — προτροπάδην CMEV diorth.[1] **95** παπτάναις Heyne: παπτήναις Pauw: παπτήνας B: παπτήνας **97** προσέννεπε diorth.: προσένεπε B: προσήνεπε D: προσήνεπε — ὦ] τ' ὦ EF **99** ἐχθίστοις σε Mingarelli **100** καταμιάναις CMV (diorth.[1]): καταμιάνας

Ἀντ. ε΄.

τὸν δὲ θαρσήσαις ἀγανοῖσι λόγοις
ὧδ᾽ ἀμείφθη· Φαμὶ διδασκαλίαν Χείρωνος οἴσειν. ἄν-
τροθε γὰρ νέομαι
πὰρ Χαρικλοῦς καὶ Φιλύρας, ἵνα Κενταύρου με κοῦραι
θρέψαν ἁγναί.
εἴκοσι δ᾽ ἐκτελέσαις ἐνιαυτοὺς οὔτε ἔργον
οὔτ᾽ ἔπος ἐντράπελον κείνοισιν εἰπὼν ἱκόμαν
οἴκαδ᾽, ἀρχαίαν κομίζων πατρὸς ἐμοῦ βασιλευομέναν
οὐ κατ᾽ αἶσαν, τάν ποτε Ζεὺς ὤπασεν λαγέτᾳ
Αἰόλῳ καὶ παισί, τιμάν.

Ἐπ. ε΄.

πεύθομαι γάρ νιν Πελίαν ἄθεμιν λευκαῖς πιθήσαντα
φρασὶν
ἁμετέρων ἀποσυλᾶσαι βιαίως ἀρχεδικᾶν τοκέων·
τοί μ᾽, ἐπεὶ πάμπρωτον εἶδον φέγγος, ὑπερφιάλου
ἁγεμόνος δείσαντες ὕβριν κᾶδος ὡσείτε φθιμένου δνοφερὸν
ἐν δώμασι θηκάμενοι, μίγα κωκυτῷ γυναικῶν
κρύβδα πέμπον σπαργάνοις ἐν πορφυρέοις,
νυκτὶ κοινάσαντες ὁδόν, Κρονίδᾳ δὲ τράφεν Χείρωνι
δῶκαν.

Στρ. ϛ΄.

ἀλλὰ τούτων μὲν κεφάλαια λόγων
ἴστε. λευκίππων δὲ δόμους πατέρων, κεδνοὶ πολῖται,
φράσσατέ μοι σαφέως·
Αἴσονος γὰρ παῖς ἐπιχώριος, οὐ ξείναν ἱκοίμαν γαῖαν
ἄλλων.

---

desunt A LNO Γ–Ω (et magna pars diorth.[2])

**101** θαρσήσαις B: θαρρήσαις?: θαρσήσας CMV diorth.: θαρρήσας **102** ἄντροθε FP diorth.[1]: ἀντρόθε E: ἀντρόθεν B: ἄντροθεν **103** Χαρικλᾶς P: Χαρικλοῖς (diorth.[1]) **104** -σαις B (diorth.?): -σας G: -σας — οὔτε diorth.: οὔτ᾽ **105** εὐτράπ. M (lemma Rom.): ἐκτράπ. Heyne (Schol. G): ἐντράπ. (etiam Schol. B) **106** ἀρχὰν ἀγκομίζων Chaeris — κομίζων] καινίζων B (DG supra): κομίξων e Schol. Hecker **109** νιν CMV diorth.[1]: μιν — πειθήσαντα BE — φρεσὶν B: φρεσσὶν PQ **110** ἁμετέραν et ἀρχεδίκαν lectio ante Chaeridem: utrumque B — τοκήων B **112** ἁγ.] ἀγ. Q: ἡγ. CV diorth.[1] **113** μίγα] μετὰ BC (diorth.) **114** κρύβδα diorth.: κρύβδαν **115** τραφὲν diorth.[1] **117** λευκίππους PQ **118** ἐπιχώριος, οὐ BPZ diorth.[1] Schol.: ἐπιχώριος οὐ — ἱκοίμαν G. Hermann: ἱκόμην B: ἱκόμαν

pres. infinit.

P.1.98.

Φὴρ δέ με θεῖος Ἰάσονα κικλήσκων προσηύδα.
ὣς φάτο. τὸν μὲν ἐσελθόντ᾽ ἔγνον ὀφθαλμοὶ πατρός.
ἐκ δ᾽ ἄρ᾽ αὐτοῦ πομφόλυξαν δάκρυα γηραλέων γλεφάρων·
ἂν περὶ ψυχὰν ἐπεὶ γάθησεν ἐξαίρετον,
γόνον ἰδὼν κάλλιστον ἀνδρῶν.

Ἀντ. ς´.

καὶ κασίγνητοί σφισιν ἀμφότεροι
ἤλυθον κείνου γε κατὰ κλέος· ἐγγὺς μὲν Φέρης κράναν Ὑπερῇδα λιπών,
ἐκ δὲ Μεσσάνας Ἀμυθάν· ταχέως δ᾽ Ἄδματος ἷκεν καὶ Μέλαμπος,
εὐμενέοντες ἀνεψιόν. ἐν δαιτὸς δὲ μοίρᾳ
μειλιχίοισι λόγοις αὐτοὺς Ἰάσων δέγμενος,
ξείνι᾽ ἁρμόζοντα τεύχων, πᾶσαν ἐϋφροσύναν τάνυεν,
ἀθρόαις πέντε δραπὼν νύκτεσσιν ἔν θ᾽ ἁμέραις
ἱερὸν εὖ, ζωᾶς ἄωτον.

Ἐπ. ς´.

ἀλλ᾽ ἐν ἕκτᾳ πάντα λόγον θέμενος σπουδαῖον ἐξ ἀρχᾶς ἀνὴρ
συγγενέσιν παρεκοινᾶθ᾽· οἱ δ᾽ ἐπέσποντ᾽. αἶψα δ᾽ ἀπὸ κλισιᾶν
ὦρτο σὺν κείνοισι. καί ῥ᾽ ἦλθον Πελία μέγαρον·
ἐσσύμενοι δ᾽ εἴσω κατέσταν. τῶν δ᾽ ἀκούσαις αὐτὸς ὑπαντίασεν
Τυροῦς ἐρασιπλοκάμου γενεά· πραῢν δ᾽ Ἰάσων
μαλθακᾷ φωνᾷ ποτιστάζων ὄαρον
βάλλετο κρηπῖδα σοφῶν ἐπέων· Παῖ Ποσειδᾶνος Πετραίου,

---

desunt A LNO Γ–Ω (et magna pars diorth.²)

**120** ἐσελ. diorth.: εἰσελ. — ἔγνον I diorth.: ἔγν . . . B (detritis litteris): ἔγνω (ὀφθαλμὸς) Er. Schmid: ἔγνων **121** βλεφάρων C? MIPQ **122** πέρι G. Hermann — ἐξαίρετον, γόνον BQ Schol.: ἐξαίρετον γόνον **124** σφισιν B diorth.: σφιν **125** Ὑπερῇδα G. Hermann: Ὑπερηίδα diorth.¹: Ὑπερηΐδα **126** Ἀμυθών diorth.¹: Ἀμυνθάν B — ἷκεν diorth.¹: ἦκεν B diorth.²: ἵκε(ν) — Μελάμπους FPQ **127** εὐμενέοντος V **129** τεύξων CM — ἐΰφρ. Bergk: εὐφρ. B: ἐν εὐφρ. diorth.: ἐς εὐφρ. **130** τ᾽ ἀμέραις EF: τ᾽ ἁμέραις CMV **131** εὖ, ζωᾶς Mommsen: εὐζῴας Bergk: εὐζωᾶς [EF] V diorth.: εὖ ζωᾶς **133** παρεκοινᾶθ᾽] πᾶσι κοινᾶθ᾽ BCV **134** ἦλθε(ν) CMV — Πελία μέγαρόνδ᾽ diorth.¹: μέγαρον Πελία [δ᾽] diorth.²? **135** εἴσω diorth.: ἔσω — om. δ᾽ B (non lemma B) — -σαις B: -σας — ὑπηντίασε B **136** γέννα DPQ **138** Ποσειδῶνος BX diorth.¹: Ποτειδᾶνος diorth.²?: Ποσιδᾶνος EG

Στρ. ζ΄.

ἐντὶ μὲν θνατῶν φρένες ὠκύτεραι
κέρδος αἰνῆσαι πρὸ δίκας δόλιον, τραχεῖαν ἑρπόντων πρὸς ἐπίβδαν, ὅμως·
ἀλλ᾽ ἐμὲ χρὴ καὶ σὲ θεμισσαμένους ὀργὰς ὑφαίνειν λοιπὸν ὄλβον.
εἰδότι τοι ἐρέω· μία βοῦς Κρηθεῖ τε μάτηρ
καὶ θρασυμήδεϊ Σαλμωνεῖ· τρίταισιν δ᾽ ἐν γοναῖς
ἄμμες αὖ κείνων φυτευθέντες σθένος ἀελίου χρύσεον
λεύσσομεν. Μοῖραι δ᾽ ἀφίσταντ᾽, εἴ τις ἔχθρα πέλει
ὁμογόνοις, αἰδῶ καλύψαι.

Ἀντ. ζ΄.

οὐ πρέπει νῷν χαλκοτόροις ξίφεσιν
οὐδ᾽ ἀκόντεσσιν μεγάλαν προγόνων τιμὰν δάσασθαι. μῆλά τε γάρ τοι ἐγὼ
καὶ βοῶν ξανθὰς ἀγέλας ἀφίημ᾽, ἀγρούς τε πάντας, τοὺς ἀπούραις
ἁμετέρων τοκέων νέμεαι, πλοῦτον πιαίνων·
κοὔ με πονεῖ τεὸν οἶκον ταῦτα πορσύνοντ᾽ ἄγαν·
ἀλλὰ καὶ σκᾶπτον μόναρχον καὶ θρόνος, ᾧ ποτε Κρηθεΐδας
ἐγκαθίζων ἱππόταις εὔθυνε λαοῖς δίκας,
τὰ μὲν ἄνευ ξυνᾶς ἀνίας

Ἐπ. ζ΄.

λῦσον, ἄμμιν μή τι νεώτερον ἐξ αὐτῶν ἀνασταίη κακόν.
ὣς ἄρ᾽ ἔειπεν. ἀκᾷ δ᾽ ἀνταγόρευσεν καὶ Πελίας· Ἔσομαι

---

desunt A LNO Γ–Ω (et magna pars diorth.[2])

**140** ἔπιβδαν C? Bergk — δ᾽ ὅμως X (diorth.?) **143** θρασυμήδεϊ diorth.: θρασυμηδεῖ CV: θρασυμήδει — τρίταις δὲ ἐν diorth.[2] **144** ἄμμες (B supra) diorth.: ἀμὲς (etiam B infra) **145** ἀφίσταντ᾽ BIP (diorth.[2]?) Schol.: ἀφίσταιντ᾽ V diorth.[1] (Chaeris): ἀμφίσταντ᾽ — πέλοι Chaeris? **146** αἰδῶ P **147** νῶϊν BCMV: νῶν EI: νῶ et νὼ — -τόροις diorth.[2]?: -τέροις diorth.[1]: -τέροισι BCMEF: -τόροισι **148** μεγάλων CM — προγόναν B **149** τοὺς CMV diorth.[1]: οὓς — ἀπούραις Böckh: ἀπούρας **150** ἁμετ.] ἀμετ. PQ — τοκήων PQ — νέμεαι] νέμεν CV: νύμες B **151** πονεῖ] δονεῖ Hartung **152** ἀλλὰ σκ. (om. καὶ) PQ Schol.? — θρόνον FGI diorth.[2] — Κρηθεΐδας diorth.: Κρηθείδας **153** ἱππότας B supra — λαοῖς diorth.: λαοῖσι — Post δίκας plene dist. BIPQ diorth.[1] **155** ἄμμιν cum sqq. coniungit P et Schol.: cum antecedd. reliqui — ἀνασταίη Ahrens: ἀνασταίη (PQ supra): ἀναστήσῃ (B corr.) I (PQ infra): utrumque Schol.: ἀναστήῃ G. Hermann: ἀναστήσας EF: ἀναστήσης **156** ἀκᾷ δ᾽ ἀνταγ. G: ἀκᾶ δ᾽ ἀγ. PQ: ἀκασκᾶ δ᾽ ἀγ. ex Eustathio Bergk:

no construc. for optative

*τοῖος. ἀλλ᾽ ἤδη με γηραιὸν μέρος ἁλικίας*
*ἀμφιπολεῖ· σὸν δ᾽ ἄνθος ἥβας ἄρτι κυμαίνει· δύνασαι δ᾽ ἀφελεῖν*
*μᾶνιν χθονίων. κέλεται γὰρ ἑὰν ψυχὰν κομίξαι*
*Φρίξος ἐλθόντας πρὸς Αἰήτα θαλάμους,*
*δέρμα τε κριοῦ βαθύμαλλον ἄγειν, τῷ ποτ᾽ ἐκ πόντου σαώθη*

*Στρ. η΄.*

*ἔκ τε ματρυιᾶς ἀθέων βελέων.*
*ταῦτά μοι θαυμαστὸς ὄνειρος ἰὼν φωνεῖ. μεμάντευμαι δ᾽ ἐπὶ Κασταλίᾳ,*
*εἰ μετάλλατόν τι. καὶ ὡς τάχος ὀτρύνει με τεύχειν ναῒ πομπάν.*
*τοῦτον ἄεθλον ἑκὼν τέλεσον· καί τοι μοναρχεῖν*
*καὶ βασιλευέμεν ὄμνυμι προήσειν. καρτερὸς*
*ὅρκος ἄμμιν μάρτυς ἔστω Ζεὺς ὁ γενέθλιος ἀμφοτέροις.*
*σύνθεσιν ταύταν ἐπαινήσαντες οἱ μὲν κρίθεν·*
*ἀτὰρ Ἰάσων αὐτὸς ἤδη*

*Ἀντ. η΄.*

*ὤρνυεν κάρυκας ἐόντα πλόον*
*φαινέμεν παντᾷ. τάχα δὲ Κρονίδαο Ζηνὸς υἱοὶ τρεῖς ἀκαμαντομάχαι*
*ἦλθον Ἀλκμήνας θ᾽ ἑλικοβλεφάρου Λήδας τε, δοιοὶ δ᾽ ὑψιχαῖται*
*ἀνέρες, Ἐννοσίδα γένος, αἰδεσθέντες ἀλκάν,*
*ἔκ τε Πύλου καὶ ἀπ᾽ ἄκρας Ταινάρου· τῶν μὲν κλέος*
*ἐσλὸν Εὐφάμου τ᾽ ἐκράνθη σόν τε, Περικλύμεν᾽ εὐρυβία.*
*ἐξ Ἀπόλλωνος δὲ φορμικτὰς ἀοιδᾶν πατὴρ*
*ἔμολεν εὐαίνητος Ὀρφεύς.*

---

*ἀκᾶ δ᾽ ἀνταγ.*

desunt A LNO *Γ–Ω* (et magna pars diorth.[2])

**157** *τοῖος* diorth.: *τοιοῦτος* **159** *ἐὰν* et *ἑὰν* BC **160** *Φρύξος* diorth.[2] — *ἐλθόντα* Schol.? diorth.[2]? **161** *βαθύμαλον* BDGI **162** *ἔκ τε*] *ἐκ τῶν* B — *ματρυᾶς* BV: *μητρυᾶς* EF: *μητρυιᾶς* GIPQ **163** *φώνει* Schol.? **164** *με*] *σε* B? **167** *μάρτυρ* I **169** *ἀτὰρ* DEFG diorth.: *αὐτὰρ* **170** *ὤρνυεν* Böckh: *ὄρνυ* et *ὄρνυε(ν)* **171** *παντᾷ* GI: *πάντᾶ* B: *παντᾶ* **172** *Ἀλκμάνας* BD: *Ἀλκμήνης* P — *θ᾽ ἑλικ.* CMPV diorth.: *τ᾽ ἑλικ.* **174** *τῶν*] *τῷ* Schol.? **176** *φορμίγκτας* CMV

Ἐπ. η'.

πέμπε δ' Ἑρμᾶς χρυσόραπις διδύμους υἱοὺς ἐπ' ἄτρυτον πόνον
τὸν μὲν Ἐχίονα, κεχλάδοντας ἥβᾳ, τὸν δ' Ἔρυτον. ταχέες
ἀμφὶ Παγγαίου [θεμέθλοις] ναιετάοντες ἔβαν·
καὶ γὰρ ἑκὼν θυμῷ γελανεῖ θᾶσσον ἔντυνεν βασιλεὺς ἀνέμων
Ζήταν Κάλαΐν τε πατὴρ Βορέας, ἄνδρας πτεροῖσιν
νῶτα πεφρίκοντας ἄμφω πορφυρέοις.
τὸν δὲ παμπειθῆ γλυκὺν ἡμιθέοισιν πόθον ἔνδαιεν Ἥρα,

Στρ. θ'.

ναὸς Ἀργοῦς μή τινα λειπόμενον
τὰν ἀκίνδυνον παρὰ ματρὶ μένειν αἰῶνα πέσσοντ', ἀλλ' ἐπὶ καὶ θανάτῳ
φάρμακον κάλλιστον ἑᾶς ἀρετᾶς ἅλιξιν εὑρέσθαι σὺν ἄλλοις.
ἐς δὲ Ἰωλκὸν ἐπεὶ κατέβα ναυτᾶν ἄωτος,
λέξατο πάντας ἐπαινήσαις Ἰάσων. καί ῥά οἱ
μάντις ὀρνίχεσσι καὶ κλάροισι θεοπροπέων ἱεροῖς
Μόψος ἄμβασε στρατὸν πρόφρων. ἐπεὶ δ' ἐμβόλου
κρέμασαν ἀγκύρας ὕπερθεν,

Ἀντ. θ'.

χρυσέαν χείρεσσι λαβὼν φιάλαν
ἀρχὸς ἐν πρύμνᾳ πατέρ' Οὐρανιδᾶν ἐγχεικέραυνον Ζῆνα, καὶ ὠκυπόρους

---

desunt A LNO Γ–Ω (et magna pars diorth.²)

**178** χρυσόραπις diorth.: χρυσόρραπις **179** κεχλάδοντας BCV: κεχλαδόντας EF diorth.¹: κεχλαδότας — Ἔρυτον C (diorth.): Εὔρυτον — ταχέες Mommsen: ταχέως Böckh: ταχέως δ' E? V diorth. (Schol. BE): ταχέες δ' (etiam Schol. DF) **180** θεμέθλοις Böckh: θέμεθλ' οἱ Bergk: πρὸς ὁρμὰν Schol.?: omissa voce BDGPQ: θέμεθλα **181** ἔντυνε(ν) CV diorth.¹ **183** πεφρίκοντας BCEV diorth.¹: πεφρικότας **184** παμπειθῆ BICMV diorth.¹: παμπληθῆ — πόθον γ' diorth.¹ — ἔνδαιεν] πρόσδαιεν Böckh: δαίεσκεν G. Hermann: (ἐν δὲ π.) τὸν δαῖεν? — Ἥρα, ναὸς Ἀργοῦς μή BEIP: Ἥρα ναὸς Ἀργοῦς, μή DFZ diorth.¹: utrumque Schol. **185** ναοῦς B **186** ματρὶ BV: ματέρι et μητέρι **187** ἑᾶς] ἰᾶς B **188** δὲ Ἰωλκὸν diorth.: δ' Ἰαωλκὸν Er. Schmid: δ' Ἰωλκὸν — κατέβη B: κατέβαν DE diorth.¹ — ναυτῶν CPV diorth.¹ — ἄωτον E **189** -νήσαις B: -νήσας **190** -χεσσι καὶ] -χεσσιν ἐν diorth.² — θεοπροπέων CDEGV: θεοπρεπέων **191** Μόμψος X diorth.¹ — ἄμβαισε B

.24.

J.M.7.35.

*κυμάτων ῥιπὰς ἀνέμων τ᾽ ἐκάλει, νύκτας τε, καὶ πόντου κελεύθους,*
*ἄματά τ᾽ εὔφρονα, καὶ φιλίαν νόστοιο μοῖραν·*
*ἐκ νεφέων δέ οἱ ἀντάϋσε βροντᾶς αἴσιον*
*φθέγμα· λαμπραὶ δ᾽ ἦλθον ἀκτῖνες στεροπᾶς ἀπορηγνύμεναι.*
*ἀμπνοὰν δ᾽ ἥρωες ἔστασαν θεοῦ σάμασιν*
*πιθόμενοι· κάρυξε δ᾽ αὐτοῖς*

*Ἐπ. θ΄.*

*ἐμβαλεῖν κώπαισι τερασκόπος ἁδείας ἐνίπτων ἐλπίδας·*
*εἰρεσία δ᾽ ὑπεχώρησεν ταχειᾶν ἐκ παλαμᾶν ἄκορος.*
*σὺν Νότου δ᾽ αὔραις ἐπ᾽ Ἀξείνου στόμα πεμπόμενοι*
*ἤλυθον· ἔνθ᾽ ἁγνὸν Ποσειδάωνος ἕσσαντ᾽ εἰναλίου τέμενος,*
*φοίνισσα δὲ Θρηϊκίων ἀγέλα ταύρων ὑπᾶρχεν*
*καὶ νεόκτιστον λίθων βωμοῖο θέναρ.*
*ἐς δὲ κίνδυνον βαθὺν ἱέμενοι δεσπόταν λίσσοντο ναῶν,*

*Στρ. ι΄.*

*συνδρόμων κινηθμὸν ἀμαιμάκετον*
*ἐκφυγεῖν πετρᾶν. δίδυμαι γὰρ ἔσαν ζωαί, κυλινδέσκοντό τε κραιπνότεραι*
*ἢ βαρυγδούπων ἀνέμων στίχες· ἀλλ᾽ ἤδη τελευτὰν κεῖνος αὐταῖς*
*ἡμιθέων πλόος ἄγαγεν. ἐς Φᾶσιν δ᾽ ἔπειτ᾽ ἀν-*
*ήλυθον, ἔνθα κελαινώπεσσι Κόλχοισιν βίαν*
*μῖξαν, Αἰήτᾳ παρ᾽ αὐτῷ. πότνια δ᾽ ὠκυτάτων βελέων*
*ποικίλαν ἴϋγγα τετράκναμον Οὐλυμπόθεν*
*ἐν ἀλύτῳ ζεύξαισα κύκλῳ*

---

desunt A LNO *Γ–Ω* (et magna pars diorth.[2])

**195** *ἀνέμων* PQ (diorth.[1]): *ἀνέμους* **196** *ἅματα* CME diorth.: *ἅμματα* B: *ἅματα* **197** *ἀντάνυσε* CM **198** *ἀπορρηγ.* BEFQ **199** *δ᾽ οἱ ἥρωες ἔσταν* diorth.[2] **200** *πιθ.* diorth.: *πειθ.* **202** *τραχειᾶν* CMV diorth.[1] **203** *Εὐξείνου* CD diorth.[1] **204** *Ποσειδᾶνος* B — *ἕσσαντ᾽* EFPGU: *ἔσσαντ᾽* — *εἰναλίου* diorth.: *ἐναλίου* **205** *ὑπῆρχε* CM **206** *λίθων* diorth.[2]: *λίθον* diorth.[1]: *λίθου* Er. Schmid: *λίθοιο* M: *λίθινον — θέναρ βωμοῦ λίθινον* Ahlwardt **207** *δεσπότα* diorth.[1] — *λίσσοντι* V **208** *σύνδρομον* E **209** *δίδυμαι* DEFGIU: *δίδυμοι* **211** *δ᾽*] *γ᾽* C — *ἔπειτ᾽ ἀνήλυθον* B: *ἔπειτα ἤλυθον* et *ἔπειτεν ἤλυθον* FG: *ἔπειτ᾽ ἐν ἤλυθον* E: *ἔπειτ᾽ ἐνήλυθον* **213** *ὠκυτ.*] *ὀξυτ.* CMV diorth.[1] **214** *τετρακνάμον᾽* F: utrumque C et Schol. — *Οὐλ.* diorth.: *Ὀλ.* **215** *-ξαισα* B: *-ξασα*

Ἀντ. ιʹ.

μαινάδ᾽ ὄρνιν Κυπρογένεια φέρεν
πρῶτον ἀνθρώποισι, λιτάς τ᾽ ἐπαοιδὰς ἐκδιδάσκησεν
σοφὸν Αἰσονίδαν·
ὄφρα Μηδείας τοκέων ἀφέλοιτ᾽ αἰδῶ, ποθεινὰ δ᾽ Ἑλλὰς
αὐτὰν
ἐν φρασὶ καιομέναν δονέοι μάστιγι Πειθοῦς.
καὶ τάχα πείρατ᾽ ἀέθλων δείκνυεν πατρωΐων·
σὺν δ᾽ ἐλαίῳ φαρμακώσαισ᾽ ἀντίτομα στερεᾶν ὀδυνᾶν
δῶκε χρίεσθαι. καταίνησάν τε κοινὸν γάμον
γλυκὺν ἐν ἀλλάλοισι μίξειν.

Ἐπ. ιʹ.

ἀλλ᾽ ὅτ᾽ Αἰήτας ἀδαμάντινον ἐν μέσσοις ἄροτρον σκίμ-
ψατο
καὶ βόας, οἳ φλόγ᾽ ἀπὸ ξανθᾶν γενύων πνέον καιομένοιο
πυρός,
χαλκέαις δ᾽ ὁπλαῖς ἀράσσεσκον χθόν᾽ ἀμειβόμενοι·
τοὺς ἀγαγὼν ζεύγλᾳ πέλασσεν μοῦνος. ὀρθὰς δ᾽ αὔλακας
ἐντανύσαις
ἤλαυν᾽, ἀνὰ βωλακίας δ᾽ ὀρόγυιαν σχίζε νῶτον
γᾶς. ἔειπεν δ᾽ ὧδε· Τοῦτ᾽ ἔργον βασιλεύς,
ὅστις ἄρχει ναός, ἐμοὶ τελέσαις ἄφθιτον στρωμνὰν ἀγέσθω,

Στρ. ιαʹ.

κῶας αἰγλᾶεν χρυσέῳ θυσάνῳ.
ὣς ἄρ᾽ αὐδάσαντος ἀπὸ κροκόεν ῥίψαις Ἰάσων εἷμα θεῷ
πίσυνος
εἴχετ᾽ ἔργου· πῦρ δέ νιν οὐκ αἰόλει παμφαρμάκου ξείνας
ἐφετμαῖς.
σπασσάμενος δ᾽ ἄροτρον, βοέοις δήσαις ἀνάγκαις

---

desunt A LNO Γ–Ω (et magna pars diorth.[2])

**216** ἔρνιν B **217** ἐδιδάσκησε B?: διδάσκησε C? V: ἐκδιδάσκοισα EPQ: ἐκδιδάσκει καὶ? **218** Μήδειαν Beck **219** φρεσὶ DU **220** πατρωΐων diorth.[1]: πατρώων **222** -σαισ᾽ B: -σασ᾽ **223** om. ἐν CM — μίξαι CMV diorth.[1]: μῖξαι Bergk **225** γενύων] γνάθων Böckh: γενῦν Dindorf — πνεῦν G. Hermann **227** -σαις B: -σας **228** ἀνὰ βωλακίας FP: ἀνὰ βωλακίαις E: ἀναβωλακίας (etiam Schol.) — ὀρόγυιαν G. Hermann: ὄργυιαν, ὀργυίαν, ὀργυιὰν **230** τελέσαις Beck: τελέσσαις BCMV: τελέσ(σ)ας **232** κροκόεν B: κρόκεον — ῥίψαις BCM: ῥίψας **233** αἰόλει Pauw: ἐόλει Böckh: αἰόλλει **234** σπασσάμ. I: σπασάμ. — βοέους CV — δήσαις Heyne: δήσας G: δῆσεν B? CMV diorth.[1]: δήσας — ἀνάγκαις RU:

causing madness

'means of accomplishing ..

*ἔντεσιν αὐχένας ἐμβάλλων τ' ἐριπλεύρῳ φυᾷ*
*κέντρον αἰανὲς βιατὰς ἐξεπόνησ' ἐπιτακτὸν ἀνὴρ*
*μέτρον. ἴϋξεν δ' ἀφωνήτῳ περ ἔμπας ἄχει*
*δύνασιν Αἰήτας ἀγασθείς.*

*Ἀντ. ια'.*

*πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα φίλας*
*ὤρεγον χεῖρας, στεφάνοισί τέ νιν ποίας ἔρεπτον, μειλιχίοις τε λόγοις*
*ἀγαπάζοντ'. αὐτίκα δ' Ἀελίου θαυμαστὸς υἱὸς δέρμα λαμπρὸν*
*ἔννεπεν, ἔνθα νιν ἐκτάνυσαν Φρίξου μάχαιραι·*
*ἤλπετο δ' οὐκέτι οἱ κεῖνόν γε πράξασθαι πόνον.*
*κεῖτο γὰρ λόχμᾳ, δράκοντος δ' εἴχετο λαβροτατᾶν γενύων,*
*ὃς πάχει μάκει τε πεντηκόντορον ναῦν κράτει,*
*τέλεσεν ἃν πλαγαὶ σιδάρου.*

*Ἐπ. ια'.*

*μακρά μοι νεῖσθαι κατ' ἀμαξιτόν· ὥρα γὰρ συνάπτει· καί τινα*
*οἶμον ἴσαμι βραχύν· πολλοῖσι δ' ἄγημαι σοφίας ἑτέροις.*
*κτεῖνε μὲν γλαυκῶπα τέχναις ποικιλόνωτον ὄφιν,*
*Ἀρκεσίλα, κλέψεν τε Μήδειαν σὺν αὐτᾷ, τὰν Πελίαο φόνον·*
*ἔν τ' Ὠκεανοῦ πελάγεσσι μίγεν πόντῳ τ' ἐρυθρῷ*
*Λαμνιᾶν τ' ἔθνει γυναικῶν ἀνδροφόνων·*
*ἔνθα καὶ γυίων ἀέθλοις ἐπεδείξαντο κρίσιν ἐσθᾶτος ἀμφίς,*

---

*ἀνάγκαις* et *ἀνάγκας* PQ? Schol.: *ἐν ἀνάγκαις* EF: *ἀνάγκᾳ* etiam apud Schol.?: *ἀνάγκας* (etiam apud Schol.; de B non liquet)

desunt A LNO *Γ–Ω* (et magna pars diorth.[2])

**236** *ἐξεπόνασ'* G. Hermann **237** *ἴϋ.*] *ἤϋ.* V diorth.[1] — *ἀφ.*] *ἀμφ.* CM **238** *δύναμιν* EF **239** *ἑταῖροι* diorth.: *ἑτᾶροι* CE: *ἑτάροι* et *ἕταροι* **240** *νιν* Mommsen: *μιν* — *μειλιχίοις*] *ποικιλίοις* PQ: *μειλιχίοισί* EF **242** *ἔννεπεν* BCMV diorth.: *ἔννεπ'* — *Φρύξου* E **243** *γε πράξασθαι*] *πεπράξεσθαι* diorth.[1] **244** *λόχμη* B: *λόγχμα* P — *-τατᾶν* G. Hermann: *-τατῶν* G: *-τάταν* et *-τάτων* **245** *-τορον*] *-τερον* EGPV **246** *τέλεσεν* e Schol. Mommsen: *ἐτέλεσαν* V: *τέλεσαν* CMX diorth.[1]: *τέλεσσαν* (etiam ut v. l. apud Schol.) — *πλαγαὶ* CDEFGI: *πληγαὶ* — *σιδήρου* CMPQV **248** *οἶμον* DGUV: *οἶμον* — *πολλοῖς* BPU — *ἄγημαι* P **249** *ὄφιν γ'* diorth.[1] **250** *Ἀρκ.* I Schol.?: *ὦ Ἀρκ.* FU: *ὦ 'ρκ.* — *αὐτᾷ* BEFV diorth.[1]: *αὐτῷ* CM: *αὐτῇ* — *Πελίαο φόνον* BD (Chaeris): *Πελιαοφόνον* (Didymus) **252** *Λημνιᾶν* CMV diorth.[1] **253** *-ξαντ' ἀγῶν'* Böckh: *-ξαντο κρῖμ'* G. Hermann

Στρ. ιβ'.

καὶ συνεύνασθεν. καὶ ἐν ἀλλοδαπαῖς
μὰν ἀρούραις τουτάκις ὑμετέρας ἀκτῖνας ὄλβου δέξατο μοιρίδιον
ἆμαρ ἢ νύκτες. τόθι γὰρ γένος Εὐφάμου φυτευθὲν λοιπὸν αἰεὶ
τέλλετο· καὶ Λακεδαιμονίων μιχθέντες ἀνδρῶν
ἤθεσιν ἔν ποτε Καλλίσταν ἀπῴκησαν χρόνῳ
νᾶσον· ἔνθεν δ' ὔμμι Λατοίδας ἔπορεν Λιβύας πεδίον,
σὺν θεῷ, τιμαῖς ὀφέλλειν, ἄστυ χρυσοθρόνου
διανέμειν θεῖον Κυράνας

Ἀντ. ιβ'.

ὀρθόβουλον μῆτιν ἐφευρομένοις.
γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν. εἰ γάρ τις ὄζους ὀξυτόμῳ πελέκει
ἐξερείψῃ κεν μεγάλας δρυός, αἰσχύνῃ δέ οἱ θαητὸν εἶδος·
καὶ φθινόκαρπος ἐοῖσα διδοῖ ψᾶφον περ' αὐτᾶς,
εἴ ποτε χειμέριον πῦρ ἐξίκηται λοίσθιον·
ἢ σὺν ὀρθαῖς κιόνεσσιν δεσποσύναισιν ἐρειδομένα
μόχθον ἄλλοις ἀμφέπει δύστανον ἐν τείχεσιν,
ἑὸν ἐρημώσαισα χῶρον·

Ἐπ. ιβ'.

ἐσσὶ δ' ἰατὴρ ἐπικαιρότατος, Παιάν τέ σοι τιμᾷ φάος.
χρὴ μαλακὰν χέρα προσβάλλοντα τρώμαν ἕλκεος ἀμφιπολεῖν.
ῥάδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ ἀφαυροτέροις·

---

desunt A LNO Γ–Ω (et magna pars diorth.[2])

**255** μὰν Mommsen: σπέρμ' (et ἀκτῖνος) G. Hermann: περ — ἀρούραις B diorth.: ἀρούραισι — Verba καὶ ἐν ἀλλ. περ ἀρ. cum sqq. coniungit Rom.: cum praecedentibus (post ἀμφὶς plene dist.) BDGIPV diorth. (Schol.?) — ὄλβου BEV diorth.: ὄλβον CM: ὄλβῳ **256** νύκτες B (C infra) V Schol.: νύκτας X diorth.[1]: νυκτός **257** τέλλετε B (Schol.?): τέλλεται E **258** ἤθεσιν ἔν Chaeris apud Schol.: ἤθεσι τάν G. Hermann (Schol.?): ἤθεσιν ἄν RWY (Schol.?): ἤθεσιν ἅν — ἀπῴκισαν BV **259** ἔνθα EF — ὔμμι(ν) BV diorth.: ὕμμι(ν) — Λατοίδας Er. Schmid: Λατοΐδας **260** θεῷ, τιμαῖς e Schol. Mommsen: θεῶν τιμαῖς — ἄστυ τε I: κἄστυ Dawes **263** ὀξυτόμῳ CMV: ὀξυτάτῳ **264** ἐξερείψῃ Bergk: ἐξερίψαι et ἐξερείψαι — κεν] μὲν G. Hermann: καὶ V — αἰσχύνοι diorth.[1] **265** περὶ BCV **267** δεσποσύνοισιν Bergk **268** ἀμφέπῃ Heyne **269** -σαισα B: -σᾳσα G: -σασα **270** ἰατὰρ E **271** χέρα diorth.: χεῖρα

*ἀλλ᾽ ἐπὶ χώρας αὖτις ἔσσαι δυσπαλὲς δὴ γίνεται, ἐξαπίνας*
*εἰ μὴ θεὸς ἁγεμόνεσσι κυβερνατὴρ γένηται.*
*τὶν δὲ τούτων ἐξυφαίνονται χάριτες.*
*τλᾶθι τᾶς εὐδαίμονος ἀμφὶ Κυράνας θέμεν σπουδὰν ἅπασαν.*

Στρ. ιγ΄.

*τῶν δ᾽ Ὁμήρου καὶ τόδε συνθέμενος*
*ῥῆμα πόρσυν᾽· ἄγγελον ἐσλὸν ἔφα τιμὰν μεγίσταν πράγματι παντὶ φέρειν.*
*αὔξεται καὶ Μοῖσα δι᾽ ἀγγελίας ὀρθᾶς. ἐπέγνω μὲν Κυράνα*
*καὶ τὸ κλεεννότατον μέγαρον Βάττου δικαιᾶν*
*Δαμοφίλου πραπίδων. κεῖνος γὰρ ἐν παισὶν νέος,*
*ἐν δὲ βουλαῖς πρέσβυς ἐγκύρσαις ἑκατονταετεῖ βιοτᾷ·*
*ὀρφανίζει μὲν κακὰν γλῶσσαν φαεννᾶς ὀπός,*
*ἔμαθε δ᾽ ὑβρίζοντα μισεῖν,*

Ἀντ. ιγ΄.

*οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς,*
*οὐδὲ μακύνων τέλος οὐδέν. ὁ γὰρ καιρὸς πρὸς ἀνθρώπων βραχὺ μέτρον ἔχει.*
*εὖ νιν ἔγνωκεν, θεράπων δέ οἱ οὐ δράστας ὀπαδεῖ. φαντὶ δ᾽ ἔμμεν*
*τοῦτ᾽ ἀνιαρότατον, καλὰ γινώσκοντ᾽ ἀνάγκᾳ*
*ἐκτὸς ἔχειν πόδα. καὶ μὰν κεῖνος Ἄτλας οὐρανῷ*
*προσπαλαίει νῦν γε πατρῴας ἀπὸ γᾶς ἀπό τε κτεάνων·*
*λῦσε δὲ Ζεὺς ἄφθιτος Τιτᾶνας. ἐν δὲ χρόνῳ*
*μεταβολαὶ λήξαντος οὔρου*

Ἐπ. ιγ΄.

*ἱστίων. ἀλλ᾽ εὔχεται οὐλομέναν νοῦσον διαντλήσαις ποτὲ*

---

desunt A (K a vs. 279) LNO Γ–Ω (et pars magna diorth.[2])

**273** *αὖθις* B? CMV diorth. — *γίγνεται* Böckh — *ἐξαπίνας* cum sqq. coni. PQ: cum antecedd. FIZ diorth. **276** *σπουδὴν* BCDMV diorth. **278** *ἔφα*] *ὃ φᾶ* e Schol. Bergk — *τιμᾶν μέγιστα πράγματα* apud Cramer. Anecd. Par. (et *πράγματα* etiam G) **280** *μέγ. Βάττου* diorth.: *Βάττου μέγ.* — *δικαίαν* BPQ diorth.: *δικαιᾶν* IW: utrumque (etiam Schol.) **282** *-σαις* B: *-σας* **283** *φαενᾶς* BI **285** *κοὐκ* PQU — *ἐξερίζων* CM **286** *οὐδ᾽ ἕν* EF **287** *ἔγνω* PQ — *οἱ, οὐ* PQ **288** *γιγνώσκοντ᾽* BF **291** *ἄφθιτον* EF: *ἀφθίτους* Bergk **293** *-σαις* B: *-σας*

*οἶκον ἰδεῖν, ἐπ' Ἀπόλλωνός τε κράνᾳ συμποσίας ἐφέπων*
*θυμὸν ἐκδόσθαι πρὸς ἥβαν πολλάκις ἔν τε σοφοῖς*
*δαιδαλέαν φόρμιγγα βαστάζων πολίταις ἡσυχίᾳ θιγέμεν,*
*μήτ' ὦν τινι πῆμα πορών, ἀπαθὴς δ' αὐτὸς πρὸς ἀστῶν.*
*καί κε μυθήσαιτο ποίαν, Ἀρκεσίλα,*
*εὗρε παγὰν ἀμβροσίων ἐπέων, πρόσφατον Θήβᾳ ξενωθείς.*

---

desunt A KLNO Γ–Ω (et pars magna diorth.[2])

**295** *πολλάκις* cum antecedd. coniungunt CPQ: cum sqq. EFIZ diorth.[1] Schol. **296** *ἀσυχίᾳ* Heyne **298** *μυθήσαιθ' ὁποίαν* CMV diorth.[1] — *Ἀρκεσίλᾳ* Moreliana: *Ἀρκεσίλαε* EF

---

## ΠΥΘΙΟΝΙΚΑΙ Ε'.

# ΑΡΚΕΣΙΛᾼ ΚΥΡΗΝΑΙῼ

### ΑΡΜΑΤΙ.

---

**Strophae.**

⏑ –́ ⏑ – –́ ⏑ ⏒
⏑ –́ ⏑ ⏖ –́ ⏑ – ⏑ –́ ⏑ ⏑ ⏒
⏑ –́ ⏑ ⏖ ×́ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏖́ ⏑ ⏒
⏑ ⏖́ ⏖́ ⏑ ⏒
–́ ⏑ ⏖ –́ ⏑ ⏑ ⏒
⏑ –́ –́ ⏑ ⏒
– –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏒
⏑ –́ × ⏑ –́ ⏑ ⏑ – ⏑ ⏒
⏑ –́ ⏑ – –́ ⏑ – –́ ⏑ ⏒
–́ ⏑ – –́ ⏑ ⏑ – ⏖́ ⏑ – –́ ⏑ ⏕ ⏑ – – –́ ⏑ – ⏑ – ⏑ ⏒

**Epodi.**

⏑ –́ –́ ⏑ ⏖ –́ ⏑ – ⏑ –́ ⏑ ⏑ ⏒
⏑ –́ –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ – × ⏑ –́ ⏑ ⏑ –
× ⏑ –́ ⏑ ⏑ – ⏖́ ⏑ –́ ⏑ ⏑ –
⏑ –́ ⏑ – × ⏑ –́ ⏑ ⏑ – –

---

desunt A K–O Γ–Ω diorth.[2]

Inscr. *ἅρματι* X diorth.: omittunt reliqui

P. 8. 24.

wave. float adown; shed his lustre down upon

deserving reverence

⏑ –́ –́ ⏑ ⏑ – ⏖ ⏑ –
–́ ⏑ ⏑ – ⏖ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ –
⏑ –́ ⏖ ⏑ – ⏑ ⏖ ⏑ – –
–́ ⏑ – –́ ⏑ ⏒
⏖ ⏓ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏖ ⏑ – –́ ⏑ ⏒

Στρ. α΄.

Ὁ πλοῦτος εὐρυσθενής,
ὅταν τις ἀρετᾷ κεκραμένον καθαρᾷ
βροτήσιος ἀνὴρ πότμου παραδόντος αὐτὸν ἀνάγῃ
πολύφιλον ἑπέταν.
ὦ θεόμορ' Ἀρκεσίλα,
σύ τοί νιν κλυτᾶς
αἰῶνος ἀκρᾶν βαθμίδων ἄπο
σὺν εὐδοξίᾳ μετανίσεαι
ἕκατι χρυσαρμάτου Κάστορος·
εὐδίαν ὃς μετὰ χειμέριον ὄμβρον τεὰν καταιθύσσει μάκαιραν ἑστίαν.

Ἀντ. α΄.

σοφοὶ δέ τοι κάλλιον
φέροντι καὶ τὰν θεόσδοτον δύναμιν.
σὲ δ' ἐρχόμενον ἐν δίκᾳ πολὺς ὄλβος ἀμφινέμεται·
τὸ μὲν, ὅτι βασιλεὺς
ἐσσὶ μεγαλᾶν πολίων·
ἔχει συγγενὴς
ὀφθαλμὸς αἰδοιότατον γέρας
τεᾷ τοῦτο μιγνύμενον φρενί·
μάκαρ δὲ καὶ νῦν, κλεεννᾶς ὅτι
εὖχος ἤδη παρὰ Πυθιάδος ἵπποις ἑλὼν δέδεξαι τόνδε κῶμον ἀνέρων,

Ἐπ. α΄.

Ἀπολλώνιον ἄθυρμα. τῷ σε μὴ λαθέτω

---

desunt A K–O Γ–Ω diorth.[2]

2 ἀρετᾷ] ὀργᾷ G. Hermann 5 θεόμορ' Er. Schmid: θεόμοιρ' Versum 5 cum sqq. coni. IV (Schol.): cum antecedd. CEFPQ (diorth.[1]) 6 νιν] νυν (C ante corr.) EIQU: νῦν Böckh 7 ἀκρᾶν BDGI Schol.: ἄκραν 8 μετανίσσεαι (C corr.) V diorth.[1] 10 εὐδιανὸς μετὰ J. G. Schneider — τεὰν] ἑὰν C: ἐὰν V 11 δέ τοι diorth.[1]: δέ τι CV: δ' ἔτι 15 μεγαλᾶν DFGIU: μεγάλαν et μεγάλων 16 ἔχει] ἐπεὶ G. Hermann 17 αἰδοιότατον Er. Schmid: αἰδοιέστατον 21 σε μὴ Er. Schmid: μή μιν diorth.[1]: μή σε

*Κυράνα γλυκὺν ἀμφὶ κᾶπον Ἀφροδίτας ἀειδομένα.*
*παντὶ μὲν θεὸν αἴτιον ὑπερτιθέμεν,*
*φιλεῖν δὲ Κάρρωτον ἔξοχ᾽ ἑταίρων,*
*ὃς οὐ τὰν Ἐπιμαθέος ἄγων*
*ὀψινόου θυγατέρα Πρόφασιν Βαττιδᾶν*
*ἀφίκετο δόμους θεμισκρεόντων,*
*ἀλλ᾽ ἀρισθάρματον*
*ὕδατι Κασταλίας ξενωθεὶς γέρας ἀμφέβαλε τεαῖσιν κόμαις*

*Στρ. β'.*

*ἀκηράτοις ἁνίαις*
*ποδαρκέων δωδεκαδρόμων τέμενος.*
*κατέκλασε γὰρ ἐντέων σθένος οὐδέν· ἀλλὰ κρέμαται,*
*ὁπόσα χεριαρᾶν*
*τεκτόνων δαίδαλ᾽ ἄγων*
*Κρισαῖον λόφον,*
*ἄμειψεν ἐν κοιλόπεδον νάπος*
*θεοῦ· τό σφ᾽ ἔχει κυπαρίσσινον*
*μέλαθρον ἀμφ᾽ ἀνδριάντι σχεδόν,*
*Κρῆτες ὃν τοξοφόροι τέγεϊ Παρνασίῳ κάθεσσαν, τὸν μονόδροπον φυτόν.*

*Ἀντ. β'.*

*ἑκόντι τοίνυν πρέπει*
*νόῳ τὸν εὐεργέταν ὑπαντιάσαι.*
*Ἀλεξιβιάδα, σὲ δ᾽ ἠΰκομοι φλέγοντι Χάριτες.*
*μακάριος, ὃς ἔχεις*
*καὶ πεδὰ μέγαν κάματον*

---

desunt A K–O *Γ–Ω* diorth.[2]

**22** *Κυράνᾳ* Er. Schmid — *ἀειδομένα* e Schol. Benedictus: *ἀειδομένη* (F supra) PR: *ἀειδόμενον* **24** *φίλει* fort. lectio Ante-Aristarchea **25** *Ἐπιμαθέος* Heyne: *Ἐπιμηθέος* **26** *ὀψίνοον* Schol.?: *ὀψινόον* PQR: *ὑψινόου* C — *Βαττιδᾶν* diorth.[1]: *Βαττιαδᾶν* **27** *ἀφῖκται* G. Hermann — *θέμις κρεόντων* Aldina **30** *ἀκηράτοις* CV diorth.[1]: *ἀκηράτοισι* — *ἁνίαις* diorth.[1]: *ἁνίαισι* **31** *ἐπαρκέων* Schol.?: *πεδαρκέων* et *ποταρκέων* Böckh — *δ(υ)ωδεκαδρόμων* BCG diorth.[1] (Schol.): *δώδεκ᾽ ἂν δρόμων* Thiersch: *δ(υ)ώδεκα δρόμων* (in CGV etiam *δ(υ)ωδεκάδρομον*) **34** *τεκτόνων δαίδαλ᾽* Pauw: (*χεριάρα*) *τέκτονος ἀγάλματ᾽* Er. Schmid: *τεκτόνων δαιδάλματ᾽* **39** *τέγεϊ* diorth.[1]: *τέγει* — *Παρνασίῳ* BEFU diorth.[1] (Schol. B): *Παρνασσίῳ* — *κάθεσσαν, τὸν μον.* Böckh: *καθέσσαντο, μον.* **41** *εὐεργέτην* C (G infra) **44** *πεδὰ*] *μετὰ* BEUW diorth.[1]: utrumque CFV

= ἀρίστου ἅρματος.

λόγων φερτάτων
μναμήϊ᾽. ἐν τεσσαράκοντα γὰρ
πετόντεσσιν ἁνιόχοις ὅλον
δίφρον κομίξαις ἀταρβεῖ φρενί,
ἦλθες ἤδη Λιβύας πεδίον ἐξ ἀγαθέων ἀέθλων καὶ πατρωΐαν πόλιν.

Ἐπ. β΄.

πόνων δ᾽ οὔ τις ἀπόκλαρός ἐστιν οὔτ᾽ ἔσεται·
ὁ Βάττου δ᾽ ἕπεται παλαιὸς ὄλβος ἔμπαν τὰ καὶ τὰ νέμων,
πύργος ἄστεος ὄμμα τε φαεννότατον
ξένοισι. κεῖνόν γε καὶ βαρύκομποι
λέοντες περὶ δείματι φύγον,
γλῶσσαν ἐπεί σφιν ἀπένεικεν ὑπερποντίαν·
ὁ δ᾽ ἀρχαγέτας ἔδωκ᾽ Ἀπόλλων
θῆρας αἰνῷ φόβῳ,
ὄφρα μὴ ταμίᾳ Κυράνας ἀτελὴς γένοιτο μαντεύμασιν.

Στρ. γ΄.

ὃ καὶ βαρειᾶν νόσων
ἀκέσματ᾽ ἄνδρεσσι καὶ γυναιξὶ νέμει,
πόρεν τε κίθαριν, δίδωσί τε Μοῖσαν οἷς ἂν ἐθέλῃ,
ἀπόλεμον ἀγαγὼν
ἐς πραπίδας εὐνομίην,
μυχόν τ᾽ ἀμφέπει
μαντήϊον· τῷ Λακεδαίμονι
ἐν Ἄργει τε καὶ ζαθέᾳ Πύλῳ
ἔνασσεν ἀλκάεντας Ἡρακλέος

---

desunt A C (inde a v. 49) K–O Γ–Ω diorth.[2]

**46** μναμ. CDV diorth.[1]: μνημ. — -ήϊ᾽ Böckh: -ήϊα DÉFI Schol.: -ήϊα et -ήϊον GH: -ήϊον **48** -ξαις B (C ante corr.) VW: -ξας **49** ἦλθεν PQRSTU — ἀγαθέων Mommsen (Schol.?): ἀγλαῶν diorth.[1]: ἀγαυῶν V: ἀγαθῶν — πατρωΐαν diorth.[1]: πατρώαν et πατρῶαν **50** ἔσεται HI diorth.[1]: ἔσσεται **51** ἔμπας (E supra) RX diorth.[1] **52** om. τε PQRS **53** ξένοισι X diorth.[1]: ξείνοισι **54** φύγον diorth.[1]: φεῦγον **55** γλῶτταν B? **56** ἔδωκ᾽] δῶκεν diorth.[1] **57** θηρσὶν αἰνὸν φόβον F supra **63** εὐνομίην PQRS: εὐνομίαν **65** μαντήϊον· τῷ Λακ. Pauw: μαντεῖον. τῷ καὶ Λακ. G. Hermann: μαντήϊον. τῷ καὶ Λακ. **66** ἔν τ᾽ Ἄργει καὶ ζαθ. Π. V **67** ἀλκάεντας Bergk: ἀλκᾶντας et ἀλκάντας

*ἐκγόνους Αἰγιμιοῦ τε. τὸ δ' ἐμὸν γαρύεται ἀπὸ Σπάρτας*
*ἐπήρατον κλέος.*

*Ἀντ. γ΄.*

*ὅθεν γεγενναμένοι*
*ἵκοντο Θήρανδε φῶτες Αἰγεΐδαι,*
*ἐμοὶ πατέρες, οὐ θεῶν ἄτερ· ἀλλὰ μοῖρά τις ἄγ' ἐν*
*πολύθυτον ἔρανον.*
*ἔνθεν ἀναδεξάμενοι,*
*Ἄπολλον, τεᾷ,*
*Καρνήϊ', ἐν δαιτὶ σεβίζομεν*
*Κυράνας ἀγακτιμέναν πόλιν·*
*ἔχοντι τὰν χαλκοχάρμαι ξένοι*
*Τρῶες Ἀντανορίδαι. σὺν Ἑλένᾳ γὰρ μόλον, καπνωθεῖσαν*
*πάτραν ἐπεὶ ἴδον*

*Ἐπ. γ΄.*

*ἐν Ἄρει. τὸ δ' ἐλάσιππον ἔθνος ἐνδυκέως*
*δέκονται θυσίαισιν ἄνδρες οἰχνέοντές σφε δωροφόροι,*
*τοὺς Ἀριστοτέλης ἄγαγε, ναυσὶ θοαῖς*
*ἁλὸς βαθεῖαν κέλευθον ἀνοίγων.*
*κτίσεν δ' ἄλσεα μείζονα θεῶν,*
*εὐθύτομόν τε κατέθηκεν Ἀπολλωνίαις*
*ἀλεξιμβρότοις πεδιάδα πομπαῖς*
*ἔμμεν ἱππόκροτον*
*σκυρωτὰν ὁδόν, ἔνθα πρυμνοῖς ἀγορᾶς ἔπι δίχα κεῖται*
*θανών.*

*Στρ. δ΄.*

*μάκαρ μὲν ἀνδρῶν μέτα*
*ἔναιεν, ἥρως δ' ἔπειτα λαοσεβής.*

---

desunt A C K–O *Γ–Ω* diorth.[2]

**68** *Αἰγιμίου* EFPQ — *γαρύεται* Mommsen (cum Schol.): *γαρύοιτ'* diorth.[1]: *γαρύοντ'* Er. Schmid: ,*γαρύειν* G. Hermann: *γαρύεντ'* PQRST: *γαρύατ'* G: *γάρυετ'* U: *γαρύετ'* — *Σπαρτῶν* Hecker **69** *κεκοιναμένοι* G. Hermann **70** *Αἰγεΐδαι* diorth.[1]: *Αἰγεῖδαι* **71** *ἄγ' ἐν* Mingarelli: *ἄγεν* et *ἆγεν* **72** *ἔρανον* (om. *ἐς*) E diorth.[1]: *ἐς ἔρανον* — *πολ. ἔρ.* cum sqq. coni. Heyne **73** *ἀναδεξαμέναν* G. Hermann **74** *τεᾷ, Καρνήϊ',* Böckh: *τεᾷ, Καρνεῖε,* G. Hermann: *τεὰ Καρνεῖα* diorth.[1]: *τεᾷ Καρνεῖ'* **75** *σεβιζέμεν* Pauw **78** *Ἀντηνορίδαι* GV diorth.[1] — *ἴδον* BV diorth.[1]: *εἶδον* **80** *δέκονται* BEFV diorth.[1]: *δέχονται* — *ἰχνέοντες* PQRS **81** *ἤγαγε* B **83** *δ'*] *τ'* diorth.[1] **84** *εὐθύτονον* Schol.? **86** *ἔμμεν* BEFP diorth.[1]: *ἔμμεν'* **87** *ἔπι δίχα* Rittershausen: *ἐπίδιχα* **89** *ἔνναιεν* diorth.[1]

soaring in the arts of the ll.

*ἄτερθε δὲ πρὸ δωμάτων ἕτεροι λαχόντες ἀΐδαν*
*βασιλέες ἱεροὶ*
*ἐντί· μεγάλαν δ' ἀρετὰν*
*δρόσῳ μαλθακᾷ*
*ῥανθεῖσαν ὕμνων ὑπὸ χεύμασιν*
*ἀκούοντί ποι χθονίᾳ φρενί,*
*σφὸν ὄλβον, υἱῷ τε κοινὰν χάριν,*
*ἔνδικόν τ' Ἀρκεσίλᾳ. τὸν ἐν ἀοιδᾷ νέων πρέπει χρυ-*
*σάορα Φοῖβον ἀπύειν,*

Ἀντ. δ'.

*ἔχοντα Πυθωνόθεν*
*τὸ καλλίνικον λυτήριον δαπανᾶν*
*μέλος χαρίεν. ἄνδρα κεῖνον ἐπαινέοντι συνετοί.*
*λεγόμενον ἐρέω·*
*κρέσσονα μὲν ἁλικίας*
*νόον φέρβεται*
*γλῶσσάν τε· θάρσος δὲ τανύπτερος*
*ἐν ὄρνιξιν αἰετὸς ἔπλετο·*
*ἀγωνίας δ', ἕρκος οἷον, σθένος·*
*ἔν τε Μοίσαισι ποτηνὸς ἀπὸ ματρὸς φίλας, πέφανταί*
*θ' ἁρματηλάτας σοφός·*

Ἐπ. δ'.

*ὅσαι τ' εἰσὶν ἐπιχωρίων καλῶν ἔσοδοι,*
*τετόλμακε. θεός τέ οἱ τὸ νῦν τε πρόφρων τελεῖ δύνασιν·*
*καὶ τὸ λοιπὸν, ὁποῖα, Κρονίδαι μάκαρες,*
*διδοῖτ' ἐπ' ἔργοισιν ἀμφί τε βουλαῖς*

---

desunt A C K–O Γ–Ω diorth.[2] (usque ad v. 109 incl.)

**92** et **94** *μεγάλαν δ' ἀρετὰν . . ῥανθεῖσαν* U diorth.[1] (Paraphr.): *μεγαλᾶν δ' ἀρετᾶν . . ῥανθεισᾶν* WX: utrumque reliqui mss.: *μεγαλὰ δ' ἀρετὰ . . ῥανθεῖσα* Böckh: *μεγαλᾶν δ' ἀρετᾶν . . ῥανθεῖσι* G. Hermann **94** *ὕμνων* Beck: *κώμων* X diorth.[1]: *κώμων θ'* — *ὑπὸ χεύμασιν* BEPUV: *ὑποχεύμασιν* **95** *ποι*] *τοι* Böckh: *που* G. Hermann **96** *σφὸν*] *σφιν* I (Schol.?) **97** *Ἀρκεσίλαον ἐν* lemma prius G (Schol. tert.?) **100** *χαρίεν* I: *χάριεν* — *ἐπαινέοντι* diorth.[1]: *αἰνέοντι* **104** *γλῶσσαν τε* cum sqq. coniung. DEFP — *θάρσος δ' αὖ* diorth.[1]: *θάρσος δὲ* Schneidewin (Schol.?) **105** *ἔπλετο* V diorth.[1]: *ἔπλετ'* **106** *ἀγωνίας δ', ἕρκος οἷον, σθένος.* Lonicerus (Schol.?): *ἀγωνίας δ' ἕρκος, οἷον σθένος.* IP diorth.[1] (etiam Schol.) **107** *πτηνὸς* D: *ποτανὸς* Heyne **108** *ὅσαι* diorth.[1]: *ὅσσαι* **110** *ὁποῖα* Mommsen: *ὦ πλεῖστα* diorth.[1]: *ὑμεῖς γε* diorth.[2]: *ὄπισθε* Böckh: *ὁμοῖα* Hartung: *ὦ*

ἔχειν, μὴ φθϊνοπωρὶς ἀνέμων
χειμερία καταπνοὰ δαμαλίζοι χρόνον.
Διός τοι νόος μέγας κυβερνᾷ
δαίμον᾽ ἀνδρῶν φίλων.
εὔχομαί νιν Ὀλυμπίᾳ τοῦτο δόμεν γέρας ἔπι Βάττου γένει.

---

desunt A C K–O Γ–Ω

**113** δαμαλίζοι] δαμάζοι PQRS **114** τοι νόος μέγας] τε νόος μέγα V **115** φιλίων B **116** εὔχομαι Οὐλυμπίᾳ τε τούτῳ diorth.[2] — ἔπι, diorth.[2]: ἐπι diorth.[1]: ἔτι Heyne (Schol.?)

---

## ΠΥΘΙΟΝΙΚΑΙ ϛ΄.

# ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩι

### ΑΡΜΑΤΙ.

---

⏑ –́ ⏑ – ˣ⏕ ⏑ –́ ⏑ ⏑ – ⏑ – –
⏑ –́ ⏑ –́ ⏑ ⏑ ⏓
ʸ⏕ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏒ –́ ⏑ ⏓
⏑ ⏑ –́ –́ ⏑ – ⏑ –́ ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ – –́ ⏑ – ⏑ –́ ⏑ ⏑ ⏓
ˣ⏕ ⏑ –́ ⏑ ⏑ – ⏑ – – ⏕ ⏑ ⏓
⏑ –́ ⏑ – ⏒
– –́ ⏑ –́ ⏑ ⏑ – ⏒
⏑ –́ –́ ⏑ – ⏑ – ⏒ –́ ⏑ ⏓

Στρ. α΄.

Ἀκούσατ᾽· ἦ γὰρ ἑλικώπιδος Ἀφροδίτας
ἄρουραν ἢ Χαρίτων
ἀναπολίζομεν, ὀμφαλὸν ἐριβρόμου
χθονὸς ἐς νάϊον προσοιχόμενοι·
Πυθιόνικος ἔνθ᾽ ὀλβίοισιν Ἐμμενίδαις
ποταμίᾳ τ᾽ Ἀκράγαντι καὶ μὰν Ξενοκράτει

---

desunt A C K–O Γ–Ω

Inscr. Θρασυβούλῳ Ἀκρ. ἅρμ. Ahlwardt

**1** ἦ] ἢ BF diorth. — Ἀφροδίτης PQRU **3** ἀναπολήσομεν Er. Schmid **4** ἐς νάϊον G. Hermann: ἐς λάϊνον Bergk: ἐς ναὸν

υθοῖ cf. τᾶς πολυχρύσου Πυθῶνος. [illegible] κἀναθήματι

*ἑτοῖμος ὕμνων*
*θησαυρὸς ἐν πολυχρύσῳ*
*Ἀπολλωνίᾳ τετείχισται νάπᾳ·*

Στρ. β'.

*τὸν οὔτε χειμέριος ὄμβρος ἐπακτὸς ἐλθών,*
*ἐριβρόμου νεφέλας*
*στρατὸς ἀμείλιχος, οὔτ' ἄνεμοι ἐς μυχοὺς*
*ἁλὸς ἄξοισι παμφόρῳ χεράδι*
*τυπτόμενοι. φάει δὲ πρόσωπον ἐν καθαρῷ*
*πατρὶ τεῷ, Θρασύβουλε, κοινάν τε γενεᾷ*
*λόγοισι θνατῶν*
*εὔδοξον ἅρματι νίκαν*
*Κρισαίαις ἐνὶ πτυχαῖς ἀπαγγελεῖ.*

Στρ. γ'.

*σύ τοι σχέθων νυν ἐπιδέξια χειρὸς ὀρθὰν*
*ἄγεις ἐφημοσύναν,*
*τά ποτ' ἐν οὔρεσι φαντὶ μεγαλοσθενεῖ*
*Φιλύρας υἱὸν ὀρφανιζομένῳ*
*Πηλεΐδᾳ παραινεῖν· μάλιστα μὲν Κρονίδαν,*
*βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν,*
*θεῶν σέβεσθαι·*
*ταύτας δὲ μή ποτε τιμᾶς*
*ἀμείρειν γονέων βίον πεπρωμένον.*

Στρ. δ'.

*ἔγεντο καὶ πρότερον Ἀντίλοχος βιατὰς*
*νόημα τοῦτο φέρων,*

---

desunt A C K–O Γ–Ω

**7** *ἑτοῖμος* V diorth.[1]: *ἕτοιμος* — *ὕμνων*] *ἵππων* v. l. GH (etiam in Schol.) **9** *τετείχηται* ft. apud Zonaram et Etym. M. **10** *οὔτε* V diorth.[1]: *οὐχὶ* diorth.[2]: *οὐ* **12** *ἄνεμοι* EPQR Schol.: *ἄνεμος* **13** *ἄξοισι*] *ἄξοι* diorth.[1]: *ἄξει* diorth.[2] — *παμφόροις χεράσιν* diorth.[2] — *χαράδι* R (Ahrens): *χεράδει* grammatici quidam in Etym. M. cett. **14** *τυπτόμενος* V diorth.: *σποδέων* in Etym. M.?: *τυπτόμενον* Dawes **15** *κοινᾷ* IV diorth. **17** *ἁρματονίκαν* diorth.[1]? **18** *Κρισαίαις ἐνὶ πτυχαῖς* diorth.[1]: *Κρισαίαισιν ἐν πτυχαῖς* diorth.[2]: *Κρισαίαισιν ἐνὶ πτυχαῖσιν* — *-ελεῖ* diorth.: *-έλλει* et *-έλει* **19** *νυν* Bergk: *νῦν* B: *νιν* — *ἐπὶ δεξιὰ* V diorth.[1] **20** *εὐφημ.* BPQRU **21** *τά* Er. Schmid: *τό* diorth.[2]: *τάν* — *ὄρεσι* PQ — *ὄρεσι τάν ποτε* Dawes — *μεγαλοσθενῆ* Bergk **22** *Φιλλύρας* PQRU — *υἱὸν*] *υἱ'* diorth.[2] **23** *Πηλεΐδᾳ* diorth.[2]: *Πηλείδᾳ* — *μὲν*] *δὲ* V **24** *βαρυοπᾶν* E (FV) W diorth.[1]: *βοώπαν* PQR (etiam Schol.?) — *στεροπᾷ κεραυνῷ τε* v. l. in G **25** *θεὸν* B **28** *ἔγεντο* diorth.[2]: *ἐγένετο* — *πρότερος* diorth.[2]

*ὃς ὑπερέφθιτο πατρός, ἐναρίμβροτον*
*ἀναμείναις στράταρχον Αἰθιόπων*
*Μέμνονα. Νεστόρειον γὰρ ἵππος ἅρμ᾽ ἐπέδα*
*Πάριος ἐκ βελέων δαϊχθείς· ὁ δ᾽ ἔφεπεν*
*κραταιὸν ἔγχος·*
*Μεσσανίου δὲ γέροντος*
*δονηθεῖσα φρὴν βόασε παῖδα ὅν·*

*Στρ. ε'.*

*χαμαιπετὲς δ᾽ ἄρ᾽ ἔπος οὐκ ἀπέριψεν αὐτοῦ·*
*μένων δ᾽ ὁ θεῖος ἀνὴρ*
*πρίατο μὲν θανάτοιο κομιδὰν πατρός,*
*ἐδόκησέν τε τῶν πάλαι γενεᾷ*
*ὁπλοτέροισιν, ἔργον πελώριον τελέσαις,*
*ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν.*
*τὰ μὲν παρίκει·*
*τῶν νῦν δὲ καὶ Θρασύβουλος*
*πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα,*

*Στρ. ϛ'.*

*πάτρῳ τ᾽ ἐπερχόμενος ἀγλαΐαν ἔδειξεν.*
*νόῳ δὲ πλοῦτον ἄγει,*
*ἄδικον οὔθ᾽ ὑπέροπλον ἥβαν δρέπων,*
*σοφίαν δ᾽ ἐν μυχοῖσι Πιερίδων·*
*τίν τ᾽, Ἐλέλιχθον, ἇς εὗρες ἱππεΐας ἐσόδους,*
*μάλα ἁδόντι νόῳ, Ποσειδᾶν, προσέχεται.*

---

desunt A C K–O *Γ–Ω*

**30** *ἐναριμβρότων* diorth.[2] **31** *ἀναμείναις* Böckh: *ἀναμείνας* diorth.[2]: *ἀμμείνας* — *στράταρχον*] *ἀρχὸν* diorth.[2] **32** *-ρειον* B? G? diorth.: *-ρεον* **33** *δαχθεὶς* B **34** *κρατερὸν ἔγχος* PQR **35** *Μεσανίου* UV diorth.[2] **36** *δοναθεῖσα* diorth.[2] **37** *ἀπέριψεν* V diorth.: *ἀπέρριψεν* — *.αὐτοῦ μένων* Heyne **38** *δ᾽ ὁ*] *δὲ* DG: *ὁ* Bergk **41** *τελέσαις* B: *τελέσ(σ)ας* **42** *τοκέεσιν* PQR **43** *παρίκει* BEFV: *παρήκει* **44** *τῶν νῦν δὲ* diorth.: *τῶν δὲ νῦν* **46** *πάτρῳ τ᾽* B: *ὁμάν τ᾽* Mommsen: *πάτρωΐ τ᾽* — *ἐπερχ.*] *ἐρχ.* diorth.[2] **48** *οὔθ᾽* Rom.: *οὔτε* — *ὑπείροπλον* diorth.[1]: *ὑπεράφανον* e Schol. Mommsen — *ἥβαν*] *ὕβριν* apud Eustathium: *ἀκμὰν* Mommsen **50** *τ᾽* PQUV diorth.: *δ᾽* I (Schol.?): *τε* — *Ἐλάσιχθον* apud Eustathium — *ἇς εὗρες ἱππείας ἐσόδους* e Schol. Mommsen: *ευρές θ᾽ ὃς ἱππέαν ἔσοδον* diorth.[1]: *ὀργαῖς ἐς ἱππείαν ἔσοδον* diorth.[2]: *ὅσθ᾽ εὗρες ἱππίαν (-ίας) ἔσοδον (ἐσόδους)* Böckh: *ὃς θῆκας ἱπ. ἔσ.* Bergk: *ὀργαῖς πάσαις ὅσον ἱππείαν ἔσοδον* B: *ὀργαῖς πάσαις. ὃς ἱππείαν ἔσοδον* (*εἴσοδον* PQU: *εἴσοδον εὗρες* R: *ἐς ὁδὸν* V supra) **51** *ἀδόντι* Z: *ἁδόντι* BX diorth.[1]: *ἀδῶντι* diorth.[2]: *ἅδοντι* et *ἄδοντι* — *Ποσιδᾶν* EG — *προσέχεται* Er. Schmid: *προσέρχεται*

highest, best, most excellent

proudly trusting in force of arms, defiant, presumptuous

Pul. 2.1.

*γλυκεῖα δὲ φρὴν*
*καὶ συμπόταισιν ὁμιλεῖν*
*μελισσᾶν ἀμείβεται τρητὸν πόνον.*

---

## ΠΥΘΙΟΝΙΚΑΙ Ζʹ.

# ΜΕΓΑΚΛΕΙ ΑΘΗΝΑΙΩι

### ΤΕΘΡΙΠΠΩι.

---

**Strophae.**

– –́ ⏑ – ⏑ ⏖́ ⏑ ⏖ ⏑ – –
⏑ –́ ⏑ ⏑ – –́ ⏑ – ⏓ ×́ ⏑ –́ ⏑ ⏑ –
– –́ ⏑ – –
– –́ ⏑ ⏑ – ⏓
⏑ –́ ⏑ ⏖ –́ ⏑ ⏑ – –
– –́ ⏑ ⏑ – ⏑ ⏓
⏑ ⏖́ –́ ⏑ ⏓
⏓ ⏖́ ⏑ – ⏓

**Epodus.**

× ⏑ –́ ⏕ – × ⏑ –́ ⏑ ⏑ –
⏑ –́ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ –
⏖́ ⏑ –́ ⏑ ⏑ – ⏖́ ⏑ – ⏓
–́ ⏑ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ ⏑ –
– –́ ⏑ – –́ ⏑ ⏑ –
⏑ –́ ⏑ ⏑ – –

*Στρ.*

*Κάλλιστον αἱ μεγαλοπόλιες Ἀθᾶναι*
*προοίμιον Ἀλκμανιδᾶν εὐρυσθενεῖ γενεᾷ,*
*κρηπῖδ' ἀοιδᾶν*
*ἵπποισι βαλέσθαι.*

---

desunt A C K–O Γ–Ω

Inscr. *τεθρίππῳ*. B: *κέλητι* Bergk: *ἵπποις*. X diorth.[1]: *ἵπποις Ὀλύμπια Πύθια Ἴσθμια*. (vel *Ὀλ. Ἴ. Π.*)

**1** *μεγαλοπτόλιες* (Böckh) G. Hermann **2** *προοίμιόν τ'* diorth.[2] — *Ἀλκμαιονιδᾶν* B: *Ἀλκμαιανιδᾶν* P: *Ἀλκμαινιδᾶν* diorth.[1] — *ἐρισθενεῖ* diorth.[2] **3** *κρηπῖδ'* B diorth.: *κρηπίδ'* **4** *ἵπποισι* diorth.[2]: *ἵπποις*

ἐπεὶ τίνα πάτραν, τίνα τ' οἶκον
αἰᾶν ὀνυμάξομαι
ἐπιφανέστερον
Ἑλλάδι πυθέσθαι;

Ἀντ.

πάσαισι γὰρ πολίεσι λόγος ὁμιλεῖ
Ἐρεχθέος ἀστῶν, Ἄπολλον, οἳ τεόν γε δόμον
Πυθῶνι δίᾳ
θαητὸν ἔτευξαν.
ἄγοντι δέ με πέντε μὲν Ἰσθμοῖ
νῖκαι, μία δ' ἐκπρεπὴς
Διὸς Ὀλυμπιάς,
δύο δ' ἀπὸ Κίρρας,

Ἐπ.

ὦ Μεγάκλεες, ὑμαί τε καὶ προγόνων.
νέᾳ δ' εὐπραγίᾳ χαίρω τι· τὸ δ' ἄχνυμαι,
φθόνον ἀμειβόμενον τὰ καλὰ ἔργα.
φαντί γε μὰν οὕτω κεν ἀνδρὶ παρμονίμαν
θάλλοισαν εὐδαιμονίαν
τὰ καὶ τὰ φέρεσθαι.

---

desunt A C K–O Γ–Ω

**5** *τίνα οἶκον* Böckh **6** *αἰᾶν* (i. e. *γαιάων*) Mommsen: *ναίοντ'* e Schol. Er. Schmid: *λαῶν* Schneidewin: *αἰνέων* Kayser: *τ'* Bergk: *αἰῶν'* (pro *αἰῶνι*) et *τ' ἀΐων* apud Schol.: *ναίων* (etiam Apollonius *εἰδογράφος* (et Didymus?) apud Schol.) — *ὀνυμάξομαι* (e Schol.) diorth.[2]: *ὀνυμάξω* (EF) diorth.[1]: *ὀνυμάξαι* **9** *πολίεσι λόγος* diorth.: *πολίεσσι λόγος* V: *πολίεσιν ὁ λόγος* P (I ante corr.): *πόλεσιν ὁ λόγος* EF: *πολίεσσιν ὁ λόγος* **10** *Ἐρεχθέος* BFV diorth.[1]: *Ἐρεχθέως* — *Ἀπόλλων* diorth.[1] — *γε* diorth.[1]: om. V: *τε* — *τεὸν δόμον ἐν* Hartung **14** om. *νῖκαι* Bergk **15** *Ὀλυμπιάς* diorth.[2]: *Ὀλυμπίοις* U (Schol.?): *Ὀλυμπίας* **16** *δοιὼ ἀπὸ* diorth.[2] **18** *νέᾳ*] *νῦν* V a pr. m. — *χαίρω τι. τὸ δ'* Schol. (Aristarchus) BDGU diorth.[1]: *χαίρω. τί τόδ'* **20** *παρμονίμαν* EFI diorth.[1] Schol.: *πὰρ μονίμαν*

'bad as well as good'

making cities greatest, most blest.

true, strict, precise, exact

drive into thy heart

by confront him
to meet, encounter

# ΠΥΘΙΟΝΙΚΑΙ Η΄.

# ΑΡΙΣΤΟΜΕΝΕΙ ΑΙΓΙΝΗΤΗι

## ΠΑΛΑΙΣΤΗι.

---

### Strophae.

⏕ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏓
–̀ ⏑ –́ ⏑ ⏑ ⏖ ⏑ ⏓
– –́ ⏑ –́ ⏑ ⏑ ⏓
⏑ –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – –̀ ⏒ –̀ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏓
⏒ –́ ⏑ –́ ⏑ ⏑ – –̀ ⏒ –́ ⏑ – ⏑ ⏓
⏒ –́ ⏑ – ⏒ –́ ⏑ – ⏑ ⏓

### Epodi.

⏑ –́ ⏑ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ – ⏑ –
⏒ –́ ⏑ –́ ⏑ ⏑ – –̀ ⏒ –́ ⏑ – – ⏒
–̀ ⏒ –́ ⏑ ⏑ – ⏑ – –̀ – –́ ⏑ ⏑ – ⏒
– –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ – ⏑ –
⏑ –́ –́ ⏑ ⏑ – ⏑ – –̀ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏓
– –́ ⏒ –̀ ⏒ –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏒

Στρ. α΄.

*Φιλόφρον Ἡσυχία, Δίκας*
*ὦ μεγιστόπολι θύγατερ,*
*βουλᾶν τε καὶ πολέμων*
*ἔχοισα κλαΐδας ὑπερτάτας,*
*Πυθιόνικον τιμὰν Ἀριστομένει δέκευ.*
*τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι τε καὶ παθεῖν ὁμῶς*
*ἐπίστασαι καιρῷ σὺν ἀτρεκεῖ·*

Ἀντ. α΄.

*τὺ δ᾽, ὁπόταν τις ἀμείλιχον*
*καρδίᾳ κότον ἐνελάσῃ,*
*τραχεῖα δυσμενέων*
*ὑπαντιάξαισα κράτει τιθεῖς*

---

desunt A C K–O Γ–Ω

**1** *Ἁσυχία* Heyne **3** *βουλῶν* B lemma **4** *ἔχουσα* IPQRUV diorth. — *κλαΐδας* diorth.[1]: *κληΐδας* diorth.[2]: *κλαῖδας* EF: *κλᾷδας* DG: *κλᾶδας* **6** *ὁμῶς*] *ὅπως* B **11** *-αισα* B: *-ασα* — *κρατὶ* unus Schol. — *τιθεῖσ᾽ εἶ* PQ

ὕβριν ἐν ἄντλῳ. τὰν οὐδὲ Πορφυρίων μάθεν
παρ᾽ αἶσαν ἐξερεθίζων. κέρδος δὲ φίλτατον,
ἑκόντος εἴ τις ἐκ δόμων φέροι.

Ἐπ. α΄.

βία δὲ καὶ μεγάλαυχον ἔσφαλεν ἐν χρόνῳ.
Τυφὼς Κίλιξ ἑκατόγκρανος οὔ νιν ἄλυξεν,
οὐδὲ μὰν βασιλεὺς Γιγάντων· δμᾶθεν δὲ κεραυνῷ
τόξοισί τ᾽ Ἀπόλλωνος· ὃς εὐμενεῖ νόῳ
Ξενάρκειον ἔδεκτο Κίρραθεν ἐστεφανωμένον
υἱὸν ποίᾳ Παρνασίδι Δωριεῖ τε κώμῳ.

Στρ. β΄.

ἔπεσε δ᾽ οὐ Χαρίτων ἑκὰς
ἁ δικαιόπολις ἀρεταῖς
κλειναῖσιν Αἰακιδᾶν
θίγοισα νᾶσος· τελέαν δ᾽ ἔχει
δόξαν ἀπ᾽ ἀρχᾶς. πολλοῖσι μὲν γὰρ ἀείδεται
νικαφόροις ἐν ἀέθλοις θρέψαισα καὶ θοαῖς
ὑπερτάτους ἥρωας ἐν μάχαις·

Ἀντ. β΄.

τὰ δὲ καὶ ἀνδράσιν ἐμπρέπει.
εἰμὶ δ᾽ ἄσχολος ἀναθέμεν
πᾶσαν μακραγορίαν
λύρᾳ τε καὶ φθέγματι μαλθακῷ,
μὴ κόρος ἐλθὼν κνίσῃ. τὸ δ᾽ ἐν ποσί μοι τράχον
ἴτω τεὸν χρέος, ὦ παῖ, νεώτατον καλῶν,
ἐμᾷ ποτανὸν ἀμφὶ μαχανᾷ.

Ἐπ. β΄.

παλαισμάτεσσι γὰρ ἰχνεύων ματραδελφεοὺς
Ὀλυμπίᾳ τε Θεόγνητον οὐ κατελέγχεις,

---

desunt A C K–O Γ–Ω

**13** φίλτατόν γ᾽ diorth.[2] **15** ἔσφηλεν diorth.[1] **16** ἑκατόγκρανος Er. Schmid: ἑκατονκάρηνος diorth.[1]: πολυκάρανός τ᾽ diorth.[2]: ἑκατοντοκάρανος BFI: ἑκατοντακάρανος — νιν Ahlwardt: μιν — ἄλεξεν I **17** δαμᾶθεν B **20** πόᾳ Er. Schmidt — Παρνασίδι Böckh: Παρνασίᾳ **21** ἔπεσσε EFPQU **24** θίγουσα EF: θιγοῖσα Buttmann **26** νικαφόρους E — ἄθλοις DEI — -αισα B: -ασα **28** τὰ δὲ καὶ V diorth.[1]: τὰ δὲ ἐν diorth.[2]: τὰ καὶ ἐν Rom.: τὰ δὲ καὶ ἐν **30** μακρηγορίαν (D ante corr.) X diorth.[1] **32** κνίσσῃ diorth.[1] — μου DG: μοι (etiam Schol.) — τράχον ἴτω BEIV: τρέχον ἴτω X diorth.[1]: ἴτω τράχον diorth.[2]: τραχὸν ἴτω **34** μηχανᾷ BPQR **35** παλαίσμασίν τε γὰρ diorth.[1] — ἰχνέων Er. Schmid: οἰχνέων G. Hermann **36** Οὐλυμπίᾳ diorth.[2] — Θεόγνητόν τ᾽ οὐ diorth.[2]

seawater, sed: throw into sea cause to disappear.
rouse to anger, rouse to fight

bay or laurel

strict in public faith

reach, gain, win

have notime to.

go trippingly

'the debt due to thee'
N.7.31.

P. 1.80. by

O.8.19.

'strong of limb'
'earnest the praise'

is encompassed with

cf. 9.124.

...thing realized.' lay hold of, apply oneself to. cf. θιγγάνω, ψαύω dat.

*οὐδὲ Κλειτομάχοιο νίκαν Ἰσθμοῖ θρασύγυιον·*
*αὔξων δὲ πάτραν Μιδυλιδᾶν, λόγον φέρεις*
*τὸν ὅνπερ ποτ' Ὀϊκλέος παῖς ἐν ἑπταπύλοις ἰδὼν*
*υἱοὺς Θήβαις αἰνίξατο παρμένοντας αἰχμᾷ,*

*Στρ. γ'.*

*ὁπότ' ἀπ' Ἄργεος ἤλυθον*
*δευτέραν ὁδὸν Ἐπίγονοι.*
*ὧδ' εἶπε μαρναμένων·*
*Φυᾷ τὸ γενναῖον ἐπιπρέπει*
*ἐκ πατέρων παισὶ λῆμα. θαέομαι σαφὲς*
*δράκοντα ποικίλον αἰθᾶς Ἀλκμᾶν' ἐπ' ἀσπίδος*
*νωμῶντα πρῶτον ἐν Κάδμου πύλαις.*

*Ἀντ. γ'.*

*ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ*
*νῦν ἀρείονος ἐνέχεται*
*ὄρνιχος ἀγγελίᾳ*
*Ἄδραστος ἥρως· τὸ δὲ οἴκοθεν*
*ἀντία πράξει. μόνος γὰρ ἐκ Δαναῶν στρατοῦ*
*θανόντος ὀστέα λέξαις υἱοῦ, τύχᾳ θεῶν*
*ἀφίξεται λαῷ σὺν ἀβλαβεῖ*

*Ἐπ. γ'.*

*Ἄβαντος εὐρυχόρους ἀγυιάς. τοιαῦτα μὲν*
*ἐφθέγξατ' Ἀμφιάρηος. χαίρων δὲ καὶ αὐτὸς*
*Ἀλκμᾶνα στεφάνοισι βάλλω, ῥαίνω δὲ καὶ ὕμνῳ,*
*γείτων ὅτι μοι καὶ κτεάνων φύλαξ ἐμῶν*
*ὑπάντασεν ἰόντι γᾶς ὀμφαλὸν παρ' ἀοίδιμον,*
*μαντευμάτων τ' ἐφάψατο συγγόνοισι τέχναις.*

---

desunt A C K–O Γ–Ω

**37** *Κλυτομάχοιο* BEFQRU **38** Post *Μιδυλιδᾶν* distinxit Mommsen cum PQ diorth.[1] Schol. **39** *ποτε* diorth.[1] **40** *αἰνίξατο* Böckh: *ἠνίξατο* **43** *ὧδ'* (lemma G) diorth.[2]: *τῇδ'* diorth.[1]: *ὧδε δ'* — *μαρναμένων* cum sqq. coni. Er. Schmid **44** *ἐπιτρέπει* DUV diorth.[1] **45** *παισὶν*] *παῖ, σοὶ* G. Hermann — *λῆμα* cum sqq. coni. Schol. unus? — *θαέομαι* (B supra) EV: *θεάομαι* **47** *νέμοντα* diorth.[2] **49** *Ἀρείονος* Welcker **51** *οἴκοθέν γ'* diorth.[2] **52** *μοῦνος* diorth. **53** *-αις* B: *-ας* **54** *λεῷ* diorth.[2] **55** *-χόρους* B diorth.[1]: *-χώρους* et *-χώρου* — *μὲν*] *μὲν δὴ* diorth.[2] **56** *Ἀμφιάραος* DPQRU **58** Post *μοι* plene dist. P diorth.[2]: post *ἐμῶν* plene diorth.[1] **59** *ὑπάντασεν* Er. Schmid: *ὑπαντίασ'* diorth.[1]: *ὑπήντησέ τ'* diorth.[2]: *ὑπαντίασεν* — *γᾶς* diorth.[2]: *γαίας* **60** *τ'* diorth.: *δὲ* PQ: *τὲ* — *συγγόνοισι, τέχναις.* diorth.[1]

Στρ. δ΄.

τὺ δ᾽, ἑκαταβόλε, πάνδοκον
ναὸν εὐκλέα διανέμων
Πυθῶνος ἐν γυάλοις,
τὸ μὲν μέγιστον τόθι χαρμάτων
ὤπασας· οἴκοι δ᾽ πρόσθεν ἁρπαλέαν δόσιν
πενταεθλίου σὺν ἑορταῖς ὑμαῖς ἐπάγαγες.
ἄναξ, ἑκόντι δ᾽ εὔχομαι νόῳ

Ἀντ. δ΄.

κατά τιν᾽ ἁρμονίαν βλέπειν
ἀμφ᾽ ἕκαστον, ὅσα νέομαι.
κώμῳ μὲν ἁδυμελεῖ
Δίκα παρέστακε· θεῶν δ᾽ ὄπιν
ἄφθονον αἰτέω, Ξέναρκες, ὑμετέραις τύχαις.
εἰ γάρ τις ἐσλὰ πέπαται μὴ σὺν μακρῷ πόνῳ,
πολλοῖς σοφὸς δοκεῖ πεδ᾽ ἀφρόνων

Ἐπ. δ΄.

βίον κορυσσέμεν ὀρθοβούλοισι μαχαναῖς·
τὰ δ᾽ οὐκ ἐπ᾽ ἀνδράσι κεῖται· δαίμων δὲ παρίσχει,
ἄλλοτ᾽ ἄλλον ὕπερθε βάλλων, ἄλλον δ᾽ ὑποχείρων
μέτρῳ καταβαίνει. Μεγάροις δ᾽ ἔχεις γέρας,
μυχῷ τ᾽ ἐν Μαραθῶνος, Ἥρας τ᾽ ἀγῶν᾽ ἐπιχώριον
νίκαις τρισσαῖς, Ἀριστόμενες, δάμασσας ἔργῳ.

Στρ. ε΄.

τέτρασι δ᾽ ἔμπετες ὑψόθεν
σωμάτεσσι κακὰ φρονέων,

---

desunt A C K–O Γ–Ω

**61** ἑκατηβόλε UX diorth.[1] **66** πενταθλίου diorth.[2] **67** ἄναξ EF diorth.[2] (Schol.): ὦναξ — ἄναξ cum sqq. coni. E Schol.: cum antecedentibus reliqui — δὴ εὔχομαι Bergk **68** κατὰ τὶν Pauw **69** ὅσα diorth.: ὅσσα — νέμομαι Mingarelli **70** ἀδυμελεῖ PQ **72** ἄφθονον (v. l. G) Schol.?: ἄφθιτον — Ξείναρκες diorth.[2] **72** sq. τύχαισιν. εἴ τις (om. γὰρ) diorth.[2] **73** πέπηται E — μὴ ξὺν diorth.[1]?: σὺν οὐ diorth.[2] — πόνῳ] χρόνῳ WXY diorth.[1]: utrumque V: de B non liquet (Schol. πόνῳ) **74** πεδαφρόνων BDI diorth.[1]: utrumque EG **76** τὰ δ᾽ B: ταῦτ᾽ diorth.[2]: τάδ᾽ (τά δ᾽) **77** ἄλλοτ᾽ diorth.: ἄλλοτε δ᾽ — ὑποχείρων Mommsen (Schol.?): ὑπὸ χειρῶν **78** μέτρον EV diorth.[1]: utrumque DG — Μεγ. (sine ἐν) diorth.: ἐν Μεγ. (-άροισι BEFV) **80** νίκαις (lemma BGH) diorth.: νίκαισι — Ἀριστ. Z (diorth.[1]?): ὠριστ. — δάμασσας GV diorth. (Schol. U): δαμάσσαις B (Schol. B): δαμάσαις lemma B: δαμάσας U: δάμασας (etiam P) **82** κακὰ] κάκτα B

| greedy | attractive, alluring, charming

respect of gods to men's action : reward for good action : care. favour

...es of a day are we'

τοῖς οὔτε νόστος ὁμῶς
ἔπαλπνος ἐν Πυθιάδι κρίθη,
οὐδὲ μολόντων πὰρ ματέρ᾽ ἀμφὶ γέλως γλυκὺς
ὦρσεν χάριν· κατὰ λαύρας δ᾽ ἐχθρῶν ἀπάοροι
πτώσσοντι, συμφορᾷ δεδαγμένοι.

Ἀντ. ε'.

ὁ δὲ καλόν τι νέον λαχὼν
ἁβρότατος ἄπο μεγάλας
ἐξ ἐλπίδος πέταται
ὑποπτέροις ἀνορέαις, ἔχων
κρέσσονα πλούτου μέριμναν. ἐν δ᾽ ὀλίγῳ βροτῶν
τὸ τερπνὸν αὔξεται· οὕτω δὲ καὶ πιτνεῖ χαμαί,
ἀποτρόπῳ γνώμᾳ σεσεισμένον.

Ἐπ. ε'.

ἐπάμεροι· τί δέ τις; τί δ᾽ οὔ τις; σκιᾶς ὄναρ
ἄνθρωποι. ἀλλ᾽ ὅταν αἴγλα διόσδοτος ἔλθῃ,
λαμπρὸν φέγγος ἔπεστιν ἀνδρῶν καὶ μείλιχος αἰών.
Αἴγινα φίλα μᾶτερ, ἐλευθέρῳ στόλῳ
πόλιν τάνδε κόμιζε Διῒ καὶ κρέοντι σὺν Αἰακῷ
Πηλεῖ τε κἀγαθῷ Τελαμῶνι σύν τ᾽ Ἀχιλλεῖ.

---

desunt A C K–O Γ–Ω

**84** ἐπ᾽ ἀλπνὸς Bergk **86** ὦρσεν] βάλλεν diorth.[2] — ἐπάοροι E **87** δεδαγμένοι e Schol. Bergk: δεδαιγμένοι G. Hermann: δεδαϊγμένοι **88** τι καὶ νέον B **89** ἁβρότητος PQR — ἄπο Mommsen: ἀπὸ E diorth.[1]: ἔπι, Heyne: ἐπὶ **90** τέταται IR **91** ὑπ. ἀν. cum praegressis coni. BPQ diorth.[2] Schol.: cum sqq. diorth.[1] **92** πλούτου μέριμναν] τέρψιν πλούτοιο diorth.[2]: πλ. μέρμηραν G. Hermann **95** δέ τις I: δὲ τίς — ὄναρ σκιᾶς diorth.[2] **96** ἄνθρωπος apud Plutarchum et Eustathium **97** φέγγος ἔπεστιν Heyne: ἔπεστι φέγγος — καὶ μείλ.] εὐμείλ. (E ante corr.) F **99** Διὶ Bergk: Δὶ Böckh: Διῒ **100** τε κἀγαθῷ diorth.[1]: χαρίστῳ δὴ diorth.[2]: τε καὶ ἀγαθῷ

# ΠΥΘΙΟΝΙΚΑΙ Θ'.

## ΤΕΛΕΣΙΚΡΑΤΕΙ ΚΥΡΗΝΑΙῼ

### ΟΠΛΙΤΟΔΡΟΜῼ.

---

**Strophae.**

⏑ ⏑ –́ ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – –́ ⏒
⏑ ⏑ –́ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒ –́ ⏑ – ⏒

**Epodi.**

– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏔ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒

Στρ. α'.

*Ἐθέλω χαλκάσπιδα Πυθιονίκαν*
*σὺν βαθυζώνοισιν ἀγγέλλων*
*Τελεσικράτη Χαρίτεσσι γεγωνεῖν,*
*ὄλβιον ἄνδρα, διωξίππου στεφάνωμα Κυράνας·*
*τὰν ὁ χαιτάεις ἀνεμοσφαράγων ἐκ Παλίου κόλπων ποτὲ Λατοΐδας*
*ἅρπασ', ἔνεγκέ τε χρυσέῳ παρθένον ἀγροτέραν δίφρῳ, τόθι νιν πολυμήλου*

---

desunt A C K–O Γ–Ω

**2** *ἀγγέλλων* BEGI diorth.[1] Schol.: *αἰνέων* diorth.[2]?: *ἀγώνων* P: *ἀγγέλων* **6** *ἅρπασ'* diorth.[2]: *ἅρπασεν* — *ἔνεικέ τε* V: *ἤνεγκέ τε* X diorth.[1] — *νιν* EFV diorth.[1]: *νῦν* DIU diorth.[2]: utrumque BGPQ

with brasen shield. ran in the armed footrace

horsedriving

not quite appos. gen. result "a crowning q.." with he hath crowned;

echoing to the wind

fond of the chase, huntress

N. 4. 52.

O. 6. 98.

silver footed. moon goddess

lighted from.' lay hold of. " but perh. better ὀ χ. gen. after ἁφα.

shame

replacing ἰυνὸν to govern κούεσ

P. 6. 48.

fathers' father..

"walking back"

acc. pl. τέεφις

of housekeeping, keeping within doors: female housemates

(κτιέω) ravage, slaughter

"falling on her eyes"..

n not present at feast: else δινὸν perh. 'dance'.

καὶ πολυκαρποτάτας θῆκε δέσποιναν χθονὸς
ῥίζαν ἀπείρου τρίταν εὐήρατον θάλλοισαν οἰκεῖν.

*Ἀντ. α΄.*

ὑπέδεκτο δ' ἀργυρόπεζ' Ἀφροδίτα
Δάλιον ξεῖνον θεοδμήτων
ὀχέων ἐφαπτομένα χερὶ κούφᾳ·
καί σφιν ἐπὶ γλυκεραῖς εὐναῖς ἐρατὰν βάλεν αἰδῶ,
ξυνὸν ἁρμόζοισα θεῷ τε γάμον μιχθέντα κούρᾳ θ' Ὑψέος εὐρυβία·
ὃς Λαπιθᾶν ὑπερόπλων τουτάκις ἦν βασιλεύς, ἐξ Ὠκεανοῦ γένος ἥρως
δεύτερος· ὅν ποτε Πίνδου κλεενναῖς ἐν πτυχαῖς
Ναῒς εὐφρανθεῖσα Πηνειοῦ λέχει Κρέοισ' ἔτικτεν,

*Ἐπ. α΄.*

Γαίας θυγάτηρ. ὁ δὲ τὰν εὐώλενον
θρέψατο παῖδα Κυράναν· ἁ μὲν οὔθ' ἱστῶν παλιμβάμους ἐφίλησεν ὁδούς,
οὔτε δείπνων τέρψιας, οὔθ' ἑταρᾶν οἰκουριᾶν,
ἀλλ' ἀκόντεσσίν τε χαλκέοις
φασγάνῳ τε μαρναμένα κεραΐζεν ἀγρίους
θῆρας, ἦ πολλάν τε καὶ ἡσύχιον
βουσὶν εἰρήναν παρέχοισα πατρῴαις, τὸν δὲ σύγκοιτον γλυκὺν
παῦρον ἐπὶ γλεφάροις
ὕπνον ἀναλίσκοισα ῥέποντα πρὸς ἀῶ.

*Στρ. β΄.*

κίχε νιν λέοντί ποτ' εὐρυφαρέτρας

---

desunt A C K–O Γ–Ω

**8** τρίταν] τριτάταν BEFV **9** ὑπέδεκτ' οὖν ἀργ. diorth.[2] — Ἀφροδίτη (B a pr. m.) PV **10** ξεῖνον B diorth.: ξένον — θεοδμήτων R: θεοδώτων EF: θεοσδότων V: θεοδμάτων **11** χερὶ BEF diorth.: χειρὶ — κοῦφα Schol.? **13** μιχθέντα BE Schol.: μιχθέντι — Ὑψέως BPQU **14** Λαπιθῶν V: Λαπιθάων diorth.[1] — γένος] τε γένος EF **16** Κρείοισ' diorth. **18** ἐφίλασεν diorth.[2] **19** οὔτε δείπνων τέρψιας, οὔθ' ἑταρᾶν οἰκουριᾶν (οἰκουρίαν) e Schol. Bergk: οὔτε δείπνων οἰκ. μεθ' ἑταιρᾶν τέρψιας — οἰκουριῶν B: οἰκουρίὰν PQ: οἰκοριᾶν diorth.[1] **21** μαρναμέναν D — κεραΐζειν E diorth.[1] **22** ἡσύχ. V diorth.[1]: ἀσύχ. — εἰρήνην BPQ: εἰράναν V diorth.[1] **23** -οισα diorth.[2]: -ουσα **24** παῦρον] ὕπνον V (Bergk) — γλεφ. V: βλεφ. **25** ὕπνον] παῦρον V: παῦρ' Bergk — ἀνλίσκοισα diorth.[2] — ἀώ BEF **26** λειοντί ποτ' diorth.[2]

*ὀμβρίμῳ μοῦναν παλαίοισαν*
*ἄτερ ἐγχέων ἑκάεργος Ἀπόλλων.*
*αὐτίκα δ' ἐκ μεγάρων Χείρωνα προσέννεπε φωνᾷ·*
*Σεμνὸν ἄντρον, Φιλυρίδα, προλιπὼν θυμὸν γυναικὸς καὶ*
*μεγάλαν δύνασιν*
*θαύμασον, οἷον ἀταρβεῖ νεῖκος ἄγει κεφαλᾷ, μόχθου*
*καθύπερθε νεᾶνις*
*ἦτορ ἔχοισα· φόβῳ δ' οὐ κεχείμανται φρένες.*
*τίς νιν ἀνθρώπων τέκεν; ποίας δ' ἀποσπασθεῖσα φύτλας*
*Ἀντ. β'.*
*ὀρέων κευθμῶνας ἔχει σκιοέντων;*
*γεύεται δ' ἀλκᾶς ἀπειράντου.*
*ὅσια κλυτὰν χέρα οἱ προσενεγκεῖν*
*ἦ ῥα, καὶ ἐκ λεχέων κεῖραι μελιαδέα ποίαν;*
*τὸν δὲ Κένταυρος ζαμενής, ἀγανᾷ χλαρὸν γελάσσαις*
... answered with his counsel. *ὀφρύϊ, μῆτιν ἑὰν*
*εὐθὺς ἀμείβετο· Κρυπταὶ κλαΐδες ἐντὶ σοφᾶς Πειθοῦς*
*ἱερᾶν φιλοτάτων,*
*Φοῖβε, καὶ ἔν τε θεοῖς τοῦτο κἀνθρώποις ὁμῶς*
*αἰδέοντ', ἀμφᾱδὸν ἁδείας τυχεῖν τὸ πρῶτον εὐνᾶς.*
*Ἐπ. β'.*
*καὶ γάρ σέ, τὸν οὐ θεμιτὸν ψεύδει θιγεῖν,*
*ἔτραπε μείλιχος ὀργὰ παρφάμεν τοῦτον λόγον. κούρας δ',*
*ὁπόθεν, γενεὰν*
*ἐξερωτᾷς, ὦ ἄνα; κύριον ὃς πάντων τέλος*
*οἶσθα καὶ πάσας κελεύθους·*
*ὅσσα τε χθὼν ἠρινὰ φύλλ' ἀναπέμπει, χὡπόσαι*
*ἐν θαλάσσᾳ καὶ ποταμοῖς ψάμαθοι*

---

desunt A C K–O Γ–Ω

**27** *ὀμβρ.* PQUX diorth.[2]: *ὀβρ.* **29** *προσέννεπε* Heyne: *προσήννεπε* V: *προσήνεπε* **30** *Φιλλυρίδα* diorth.[1] **31** *οἷόν περ ἀτ.* diorth.[1] — *νῖκος* PQ: utrumque DF **32** *ἔχουσα* B — *οὐκ ἐχείμανται* B **33** *νιν*] *μὲν* DGPQ diorth.[2] — *ἀποσπαρθεῖσα* Schol.? **36** *ὁσία* DFV diorth.[1] — *κλυτὰν* (F corr.) V diorth.[1] Schol.: *δὲ τὰν* diorth.[2]: *κλειτὰν* — *χεῖρα* BEFV **37** *ἦ ῥα*, e Schol. Mommsen: *,ἤ ῥα* G. Hermann (P *ἦ ῥὰ*): *.ἦρα* (*.ἦ ῥα*) — *κεῖρε* B: *κεῖρεν* diorth.[1] — *μελιαδέα* BEF: *μελιηδέα* **38** *χλαρὸν* PQ diorth.[1] Schol.: *χλιαρὸν* — *-άσσαις* B: *-άσσας* G: *-άσ(σ)ας* **39** *ἀπαμείβετο* diorth.[1] — *κληΐδες* diorth.[2] **40** *τε*] *γε* diorth.[2] — *κἀνθρ.*] *δ' ἀνθρ.* PQ: *καὶ ἀνθρ.* BEF **41** *ἀμφανδὸν* Er. Schmid — *ἀδείας* et *ἁδείας* EF **43** *ἔντραπε* F **44** *ὦ ἄναξ* PQ: *ὦναξ* diorth.[2] — *ὅς*] *ὅτις* diorth.[2]

O. 4.7.

N. 8.27

drive by a storm, be tempest-tost

stock, generation, race

hidingplace, hole, hollow

cf. 110.
N. 4.13

exultingly, gaily

visibly, openly, before the eyes of all

O. 7.66.

fixed, appointed

φεῖναι is better else irregular for 3rd plur. or schema Pindaricum.

drive tumultuously, in confusion

set oneself against, measure oneself with: oppose

.2.22.

κύμασιν ῥιπαῖς τ' ἀνέμων κλονέονται, χὤ τι μέλλει,
χὠπόθεν
ἔσσεται, εὖ καθορᾷς.
εἰ δὲ χρὴ καὶ πὰρ σοφὸν ἀντιφερίξαι,
Στρ. γ'.
ἐρέω. ταύτᾳ πόσις ἵκεο βᾶσσαν
τάνδε, καὶ μέλλεις ὑπὲρ πόντου
Διὸς ἔξοχον ποτὶ κᾶπον ἐνεῖκαι·
ἔνθα νιν ἀρχέπολιν θήσεις, ἐπὶ λαὸν ἀγείραις
νασιώταν ὄχθον ἐς ἀμφίπεδον· νῦν δ' εὐρυλείμων πότνιά
σοι Λιβύα
δέξεται εὐκλέα νύμφαν δώμασιν ἐν χρυσέοις πρόφρων·
ἵνα οἱ χθονὸς αἶσαν
αὐτίκα συντελέθειν ἔννομον δωρήσεται,
οὔτε παγκάρπων φυτῶν νήποινον, οὔτ' ἀγνῶτα θηρῶν.
Ἀντ. γ'.
τόθι παῖδα τέξεται, ὃν κλυτὸς Ἑρμᾶς
εὐθρόνοις Ὥραισι καὶ Γαίᾳ
ἀνελὼν φίλας ὑπὸ ματέρος οἴσει.
ταὶ δ' ἐπιγουνίδιον θαησάμεναι βρέφος αὐταῖς,
νέκταρ ἐν χείλεσσι καὶ ἀμβροσίαν στάξοισι, θήσονταί τέ
νιν ἀθάνατον,
Ζῆνα, καὶ ἁγνὸν Ἀπόλλων', ἀνδράσι χάρμα φίλοις, ἄγχι-
στον ὀπάονα μήλων,
Ἀγρέα καὶ Νόμιον, τοῖς δ' Ἀρισταῖον καλεῖν.
ὣς ἄρ' εἰπὼν ἔντυεν τερπνὰν γάμου κραίνειν τελευτάν.
Ἐπ. γ'.
ὠκεῖα δ' ἐπειγομένων ἤδη θεῶν

---

desunt A C K–O Γ–Ω

**48** χὠπόθεν Er. Schmid: χ' ὢ τί ποτ' diorth.: χῶ τι ποθὶ V: χ' ὤτι πόθεν **50** δὲ] δέ γε diorth.[1] **52** ὑπερποντίου DGIU **53** ἐνείκειν diorth.[2] **54** ἀρχέπτολιν (lemma E) F — ἀγείραις Heyne: ἀγείρας **55** νασ.] νησ. V diorth.[1] **56** εὐκλειέα diorth.[1] **59** παῖδα] κοῦρον diorth.[2] **60** γαίᾳ (B lemma?) diorth.: γαῖα Q: γαί' B: γαῖ V: γᾷ (γᾶ) **61** φίλης B — ὑπὸ] ἀπὸ D diorth.[2] **62** θαησαμ. (P ante corr.?) e Schol. Bergk et Mommsen: θᾱκ. B: θηκ. DV: θησ. et θηκ. EFG: κατθηκ. diorth.[1]: ἐνθηκ. diorth.[2]: θησ. (IP corr.) QRU — αὐταῖς BEX diorth.: utrumque G **63** τέ] om. D: γέ EF — νιν EFV diorth.[1]: μιν **64** ἄγχιστον cum praecedentibus coni. Heyne — 'ὁπάονα B **65** Ἀριστεῖον E **67. 68** ὠκεῖα ... πρᾶξις BEFV diorth. (Schol. B): ὠκεῖαι ... πράξεις

*πρᾶξις ὁδοί τε βραχεῖαι. κεῖνο κεῖν᾽ ἆμαρ διαίτασεν·*
*θαλάμῳ δὲ μίγεν*
*ἐν πολυχρύσῳ Λιβύας· ἵνα καλλίσταν πόλιν*
*ἀμφέπει κλεινάν τ᾽ ἀέθλοις.*
*καί νυν ἐν Πυθῶνί νιν ἀγαθέᾳ Καρνειάδα*
*υἱὸς εὐθᾱλεῖ συνέμιξε τύχᾳ·*
*ἔνθα νικάσαις ἀνέφανε Κυράναν, ἅ νιν εὔφρων δέξεται,*
*καλλιγύναικι πάτρᾳ*
*δόξαν ἱμερτὰν ἀγαγόντ᾽ ἀπὸ Δελφῶν.*

*Στρ. δ'.*

*ἀρεταὶ δ᾽ αἰεὶ μεγάλαι πολύμυθοι·*
*βαιὰ δ᾽ ἐν μακροῖσι ποικίλλειν,*
*ἀκοὰ σοφοῖς· ὁ δὲ καιρὸς ὁμοίως*
*παντὸς ἔχει κορυφάν. ἔγνον ποτὲ καὶ Ἰόλαον*
*οὐκ ἀτιμάσαντά νιν ἑπτάπυλοι Θῆβαι· τόν, Εὐρυσθῆος*
*ἐπεὶ κεφαλὰν*
*ἔπραθε φασγάνου ἀκμᾷ, κρύψαν ἔνερθ᾽ ὑπὸ γᾶν διφρη-*
*λάτα Ἀμφιτρύωνος*
*σάματι, πατροπάτωρ ἔνθα οἱ Σπαρτῶν ξένος*
*κεῖτο, λευκίπποισι Καδμείων μετοικήσαις ἀγυιαῖς.*

*Ἀντ. δ'.*

*τέκε οἱ καὶ Ζηνὶ μιγεῖσα δαΐφρων*
*ἐν μόναις ὠδῖσιν Ἀλκμήνα*
*διδύμων κρατησίμαχον σθένος υἱῶν.*
*κωφὸς ἀνήρ τις, ὃς Ἡρακλεῖ στόμα μὴ περιβάλλει,*
*μηδὲ Διρκαίων ὑδάτων ἀὲ μέμναται, τά νιν θρέψαντο*
*καὶ Ἰφικλέα·*
*τοῖσι τέλειον ἐπ᾽ εὐχᾷ κωμάσομαί τι παθὼν ἐσλόν.*
*Χαρίτων κελαδεννᾶν*
*μή με λίποι καθαρὸν φέγγος. Αἰγίνᾳ τε γὰρ*

---

desunt A C K–O *Γ–Ω*

**68** *διαίτησεν* diorth.[1] **71** *καί νυν* diorth.[2]: *καὶ νῦν — Καρνειάδα* Er. Schmid: *Καρνιάδα* **72** *εὐθαλλεῖ* Er. Schmid **73** *νικάσαις* Heyne: *νικάσᾳς* G: *νικήσας* EPQR: *νικάσας* **76** *ἀεὶ* B? IPQR **78** *σοφοῖο* B **79** *ἔγνον* Ahrens: *ἔγνων* **80** *Εὐρυσθῆος* diorth.: *Εὐρυσθέος* (*-έως*) **81** *ἔπραθεν* BGV: *ἔπραθεν ἐν* diorth.[1] **83** *-σαις* B: *-σας* **84** *οἱ* Böckh: *δ᾽ οἱ* Mingarelli: *οἱ* **85** *Ἀλκμάνα* B **87** *περιβ.*] *παραβ.* DX diorth.[1] **88** *ἀὲ μέμναται* G. Hermann: *ἀναμέμναται* Pauw: *ἐπιμέμναται* diorth.[2]: *αἰεὶ* (*ἀεὶ*) *μέμναται* **89** *ἐσθλὸν* diorth.[2]

n. so they were present at the game.

Seal. staunch. quench

φαμὶ Νίσου τ᾽ ἐν λόφῳ τρὶς δὴ πόλιν τάνδ᾽ εὐκλεΐξαι,
Ἐπ. δ΄.
σιγαλὸν ἀμαχανίαν ἔργῳ φυγών·
οὕνεκεν, εἰ φίλος ἀστῶν, εἴ τις ἀντάεις, τό γ᾽ ἐν ξυνῷ πεπονημένον εὖ
μὴ λόγον βλάπτων ἁλίοιο γέροντος κρυπτέτω.
κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρὸν
παντὶ θυμῷ σύν τε δίκᾳ καλὰ ῥέζοντ᾽ ἔννεπεν.
πλεῖστα νικάσαντά σε καὶ τελεταῖς
ὡρίαις ἐν Παλλάδος εἶδον, ἄφωνοί θ᾽ ὡς ἑκάσται φίλτατον
παρθενικαὶ πόσιν ἢ
υἱὸν εὔχοντ᾽, ὦ Τελεσίκρατες, ἔμμεν·
Στρ. ε΄.
ἐν Ὀλυμπίοισί τε καὶ βαθυκόλπου
Γᾶς ἀέθλοις ἔν τε καὶ πᾶσιν
ἐπιχωρίοις. ἐμὲ δ᾽ οὔ τις ἀοιδᾶν
δίψαν ἀκειόμενον πράσσει χρέος αὖτις ἐγεῖραι
καὶ παλαιὰν δόξαν ἑῶν προγόνων; οἷοι Λιβύσσας ἀμφὶ γυναικὸς ἔβαν
Ἴρασα πρὸς πόλιν Ἀνταίου, μετὰ καλλίκομον μναστῆρες ἀγακλέα κούραν·
τὰν μάλα πολλοὶ ἀριστῆες ἀνδρῶν αἴτεον
σύγγονοι, πολλοὶ δὲ καὶ ξείνων. ἐπεὶ θαητὸν εἶδος
Ἀντ. ε΄.
ἔπλετο· χρυσοστεφάνου δέ οἱ Ἥβας
καρπὸν ἀνθήσαντ᾽ ἀποδρέψαι
ἔθελον. πατὴρ δὲ θυγατρὶ φυτεύων
κλεινότερον γάμον, ἄκουσεν Δαναόν ποτ᾽ ἐν Ἄργει

desunt A C K–O Γ–Ω

**91** Νίσσου diorth.[1] **92** ἀμαχ. BGIPQ diorth.[2]: ἀμηχ. **93** οὕνεκεν V diorth.[1]: τοὔνεκεν Bergk **96** τε] γε (Schol.?) Böckh **97** νικασ. BGIV diorth.[1]: νικησ. **98** -σται BIPR Schol.: -στᾳ G: -σται et -στα EF: -στα **101** ἐν diorth.: ἔν τ᾽ — -πίοισι] -πίοις EFV **102** πᾶσιν] πάντεσσ᾽ diorth.[1] **103** οὔ (lemma B) R: ὦν Böckh: οὖν — τις] τίς DI diorth.[2] — ἀοιδᾶν διψάδ᾽ G. Hermann (Schol.?) **104** αὖθις V diorth.[1] **105** παλαιὰν V diorth.[1]: παλαιὰ Er. Schmid: παλαιῶν — δόξα Er. Schmid — ἑῶν diorth.[1]: τεῶν **106** Ἴρασα πρὸς e Schol. (et ex Herodoto) Heyne: Ἴρασαν ἐς diorth.[2]: Ἴρασσαν πρὸς (etiam P) **109** -φάνου δὲ Ἥβ. V: -φάνοιο δὲ Ἥβ. diorth.[1] **112** ποτ᾽] τ᾽ V: τε diorth.[1]

*οἷον εὗρεν τεσσαράκοντα καὶ ὀκτὼ παρθένοισι, πρὶν μέσον ἆμαρ ἑλεῖν.*
*ὠκύτατον γάμον· ἔστασεν γὰρ ἅπαντα χορὸν ἐν τέρμασιν αὐτίκ᾽ ἀγῶνος·*
*σὺν δ᾽ ἀέθλοις ἐκέλευσεν διακρῖναι ποδῶν,*
*ἅντινα σχήσοι τις ἡρώων, ὅσοι γαμβροί σφιν ἦλθον.*

Ἐπ. ε΄.

*οὕτω δ᾽ ἐδίδου Λίβυς ἁρμόζων κόρᾳ*
*νυμφίον ἄνδρα· ποτὶ γραμμᾷ μὲν αὐτὰν στᾶσε κοσμήσαις τέλος ἔμμεν ἄκρον,*
*εἶπε δ᾽ ἐν μέσσοις ἀπάγεσθαι, ὃς ἂν πρῶτος θορὼν*
*ἀμφί οἱ ψαύσειε πέπλοις.*
*ἔνθ᾽ Ἀλεξίδαμος, ἐπεὶ φύγε λαιψηρὸν δρόμον,*
*παρθένον κεδνὰν χερὶ χειρὸς ἑλὼν*
*ἆγεν ἱππευτᾶν Νομάδων δι᾽ ὅμιλον. πολλά νιν κεῖνοι δίκον*
*φύλλ᾽ ἔπι, καὶ στεφάνους·*
*πολλὰ δὲ πρόσθεν πτερὰ δέξατο Νίκας.*

---

desunt A C K–O Γ–Ω

**113** *ἑλεῖν* GI (P ante corr.) QRU diorth.[2]: *ἐλθεῖν* **114** *ὠκ. γ.* plenius disiunxit a praecedentibus Mommsen: coniungunt virgula interposita FV diorth.: sine virgula reliqui — *ἐν*] *πρὸς* Bergk **115** *ἀέθλοις* E diorth.: *ἀέθλοισιν* **116** *ἥντινα* B — *σχήσει* GIV diorth.[1] **117** *οὕτω δ᾽ ἐδίδου* B: *οὕτω δὲ δίδου* I diorth.: *οὕτως δίδου* PQU: *οὕτως δὲ δίδου* **118** *αὐτὰν*] *αὐτὸς* diorth.[1] — *-σαις* B: *-σας* G: *-σας* **119** *μέσσοις* D (G corr.) diorth.[1]: *μέσοις* — *θορῶν* BD **122** *χερὶ χειρὸς* BG diorth.[1]: *χερὶ χερὸς* et *χειρὶ χειρὸς* **123** *ἱππευτὰν* D diorth.[2] — *νιν* Mommsen: *μὲν* Böckh: *μιν* — *δίκων* diorth.[2] **124** *ἔπι,* DIPQU diorth.[2]: *ἐπὶ,* **125** *Νίκας* Bergk: *νίκαν* D: *νικᾶν* V diorth.[1]: *νίκας*

a prize of greater worth

φυλλοβολία decking with leaves. leafy crowns token of applause for winners

town of Thessaly : above the left bank of Peneus.

-cestorial hero of Thessalian (Larissaean) family of Aleuadae. παιδ. = Thorax and brothers

N.&.50.

-e is taxing joys of..'

.do?... of 'what is this unseasonable' = 'it is not unseas.

# ΠΥΘΙΟΝΙΚΑΙ Ι΄.

# ΙΠΠΟΚΛΕΑι ΘΕΣΣΑΛΩι

## ΠΑΙΔΙ ΔΙΑΥΛΟΔΡΟΜΩι.

### Strophae.

×̲ ⏒ –́ ⏑ ⏑ – ⏒
⏑ –́ ⏒ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏓
⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏒
⏑ –́ –́ ⏑ ⏑ – ⏒ –́ ⏑ ⏑ – ×́ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ – ⏑ ⏓
⏑ –́ –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏒
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏒ –́ ⏑ – ⏑ ⏓

### Epodi.

⏒ –́ ⏑ ⏑ – ×́ ⏒ –́ ⏑ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – ⏒
⏒ –́ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏓
⏒ –́ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏓
⏒ –́ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏒
⏒ –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏓

*Στρ. α΄.*

*Ὀλβία Λακεδαίμων·*
*μάκαιρα Θεσσαλία· πατρὸς δ᾽ ἀμφοτέραις ἐξ ἑνὸς*
*ἀριστομάχου γένος Ἡρακλέος βασιλεύει.*
*τί; κομπέω παρὰ καιρόν; ἀλλά με Πυθώ τε καὶ τὸ Πελινναῖον ἀπύει*
*Ἀλεύα τε παῖδες, Ἱπποκλέᾳ θέλοντες*
*ἀγαγεῖν ἐπικωμίαν ἀνδρῶν κλυτὰν ὄπα.*

*Ἀντ. α΄.*

*γεύεται γὰρ ἀέθλων·*

---

desunt A C K–O *Γ–Ω*

Inscr. *Ἱπποκλέᾳ* B Schol.: *Ἱπποκλέϊ* diorth.[1]: *Ἱπποκλεῖ* — om. *παιδὶ* B diorth.[1]

**1** *Λακεδαίμων* diorth.[1]: *Λακεδαίμων* et *Λακεδαῖμον* BV: *Λακεδαῖμον* (etiam Schol.) **3** *Ἡρακλεῦς* Böckh **4** *τί; κομπέω* E (Schol.?): *τὶ κομπέω* D diorth.[1]: *τί κομπέω* — *Παλινναῖον* et *Πελινναῖον* B: *Πελινναῖον* V diorth.[1]: *Πελιναῖον* et *Πελλιναῖον* — *ἀπύει*] *ἀπύειν* BIX diorth.[1]: utrumque DV Schol. **5** *Ἱπποκλέᾳ* GI diorth.[2] (Schol.): *Ἱπποκλεᾶ* Ahrens: *Ἱπποκλέα* — *ἐθέλοντες* Böckh

στρατῷ τ' ἀμφικτιόνων ὁ Παρνάσιος αὐτὸν μυχὸς
διαυλοδρομᾶν ὕπατον παίδων ἀνέειπεν.
Ἄπολλον, γλυκὺ δ' ἀνθρώπων τέλος ἀρχά τε δαίμονος
ὀρνύντος αὔξεται·
ὁ μέν που τεοῖς γε μήδεσι τοῦτ' ἔπραξεν·
τὸ δὲ συγγενὲς ἐμβέβακεν ἴχνεσιν πατρὸς

'Επ. α'.

Ὀλυμπιονίκα δὶς ἐν πολεμαδόκοις
Ἄρεος ὅπλοις·
ἔθηκε καὶ βαθυλείμων' ὑπὸ Κίρρας ἀγὼν
πέτραν κρατησίποδα Φρικίαν.
ἕποιτο μοῖρα καὶ ὑστέραισιν
ἐν ἁμέραις ἀγάνορα πλοῦτον ἀνθεῖν σφίσιν·

Στρ. β'.

τῶν δ' ἐν Ἑλλάδι τερπνῶν
λαχόντες οὐκ ὀλίγαν δόσιν, μὴ φθονεραῖς ἐκ θεῶν
μετατροπίαις ἐπικύρσαιεν. θεὸς εἴη
ἀπήμων κέαρ. εὐδαίμων δὲ καὶ ὑμνητὸς οὗτος ἀνὴρ γί-
νεται σοφοῖς,
ὃς ἂν χερσὶν ἢ ποδῶν ἀρετᾷ κρατήσαις
τὰ μέγιστ' ἀέθλων ἕλῃ τόλμᾳ τε καὶ σθένει,

Ἀντ. β'.

καὶ ζώων ἔτι νεαρὸν
κατ' αἶσαν υἱὸν ἴδῃ τυχόντα στεφάνων Πυθίων.
ὁ χάλκεος οὐρανὸς οὔ ποτ' ἀμβατὸς αὐτῷ·
ὅσαις δὲ βρότεον ἔθνος ἀγλαΐαις ἁπτόμεσθα, περαίνει
πρὸς ἔσχατον

---

desunt A C K–O Γ–Ω

**8** στρατῷ περικτιόνων θ' G. Hermann — ἀμφικτιόνων Böckh: ἀμφικτυόνων — Παρνάσσιος BEGIPQ diorth.² **9** -δρόμων B: -δρόμαν (-δρόμων supra) diorth.²: -δρόμαν et δρομᾶν FG **11** τεοῖς γε diorth.¹: τεοῖς τε diorth.²: τεοῖσι (lemma V) Rom.: τεοῖσί τε — μήδεσιν BFG **12** τὸ δὲ συγγενὲς, ἐμβ. B diorth.² **13** πολεμοδόκοις PQR **15** ἔθηκε] ἔνθηκε diorth.²: θῆκεν Rom.: θῆκεν δὲ Böckh — om. καὶ EF — βαθυλείμων' ὑπὸ Κίρρας ἀγὼν diorth.²: βαθυλείμωνα | ἀγὼν ὑπὸ Κίρρας **16** κρατασίποδα E — Φροικίαν PQU: Φρυκίαν E **17** ἕσποιτο diorth.¹ **18** ἐν] ἂν P — ἀμέραις EFQ **19** om. δ' X diorth.¹ **21** εἴη] οἷος G. Hermann: αἰεὶ Schneidewin **22** γίγνεται Böckh **23** ὃς χείρεσσιν ἢ diorth.² — -σαις B: -σας **24** ἕλῃ] ὅλῃ B: λάβῃ PQ **26** ἴδῃ Rom. (Schol.): ἴδοι **27** οὔπω Er. Schmid: οὔ πως G. Hermann — αὐτῷ PQR diorth.²: αὐτοῖς **28** βροτὸν Er. Schmid — -μεσθα B? diorth.²: -μεθα — παραίνει B: περαίνειν diorth.¹: περαίνοι diorth.²

announce, proclaim

'The end and the beginning waxeth sweet for men when.

war sustaining

'surrounded by rich meadows'. (and forbidden to be ploughed) 'Deepmeadow'
horse of his father.

manly, heroic, stately, splendid, magnificent

doing no harm, kindly

'Duly win..

'to such he saileth to the last bound'

Βαθυλείμων

P. 4, 25: 'having come upon them as they were':
fast, on and on, ever

+ praise, worship: pl. songs of praise, lauds

upright, rampant
be absent

Nem. 7. 81. 'swirl' chiefly χοροί.
revel in a large company

than just, severely just

f stone

make to lean on, fix firmly, plant

g: back. 'low..' cf. dorsum immane mari. safeguard, defence

*πλόον. ναυσὶ δ᾽ οὔτε πεζὸς ἰὼν ἂν εὕροις*
*ἐς Ὑπερβορέων ἀγῶνα θαυματὰν ὁδόν.*

Ἐπ. β΄.

*παρ᾽ οἷς ποτε Περσεὺς ἐδαίσατο λαγέτας,*
*δώματ᾽ ἐσελθών,*
*κλειτὰς ὄνων ἑκατόμβας ἐπιτόσσαις θεῷ*
*ῥέζοντας· ὧν θαλίαις ἔμπεδον*
*εὐφαμίαις τε μάλιστ᾽ Ἀπόλλων*
*χαίρει, γελᾷ θ᾽ ὁρῶν ὕβριν ὀρθίαν κνωδάλων.*

Στρ. γ΄.

*Μοῖσα δ᾽ οὐκ ἀποδαμεῖ*
*τρόποις ἐπὶ σφετέροισι· παντᾷ δὲ χοροὶ παρθένων*
*λυρᾶν τε βοαὶ καναχαί τ᾽ αὐλῶν δονέονται·*
*δάφνᾳ τε χρυσέᾳ κόμας ἀναδήσαντες εἰλαπινάζοισιν εὐφρόνως.*
*νόσοι δ᾽ οὔτε γῆρας οὐλόμενον κέκραται*
*ἱερᾷ γενεᾷ· πόνων δὲ καὶ μαχᾶν ἄτερ*

Ἀντ. γ΄.

*οἰκέοισι φυγόντες*
*ὑπέρδικον Νέμεσιν. θρασείᾳ δὲ πνέων καρδίᾳ*
*μόλεν Δανάας ποτὲ παῖς, ἁγεῖτο δ᾽ Ἀθάνα,*
*ἐς ἀνδρῶν μακάρων ὅμιλον· ἔπεφνέν τε Γοργόνα, καὶ ποικίλον κάρα*
*δρακόντων φόβαισιν ἤλυθε νασιώταις*
*λίθινον θάνατον φέρων. ἐμοὶ δὲ θαυμάσαι*

Ἐπ. γ΄.

*θεῶν τελεσάντων οὐδέν ποτε φαίνεται*
*ἔμμεν ἄπιστον.*
*κώπαν σχάσον, ταχὺ δ᾽ ἄγκυραν ἔρεισον χθονὶ*
*πρῴραθε, χοιράδος ἄλκαρ πέτρας.*

---

desunt A C K–O Γ–Ω

**29** *ἰὼν ἂν εὕροις ἐς* diorth.[1] : *ἰὼν εὕροις ἂν ἐς* diorth.[2] : *ἐὼν εὕροις ἐς* apud Eustathium: *ἰὼν εὕρῃς* DG: *ἰὼν εὕροις ἐς* **30** *θαυματὰν* Er. Schmid: *θαυμαστὰν* **32** *δώματ᾽ ἐλθὼν* DGX: *δώματα ἐλθὼν* diorth.[1] **33** *-όσσαις* BF (lemma E) W (ante corr. V): *-όσσᾳς* G: *-όσσας* et *-όσας* **36** *ὀρθίαν* IPQUZ: *ὀρθίᾶν* G: *ὀρθιᾶν* (etiam Schol.?) **38** *παντᾷ* GZ: *πάντα* diorth.[2] : *παντᾶ* **40** *-ζουσιν* BEFV diorth.[1] **41** *νοῦσοι* diorth.[1] **45** *ἀγεῖτο* EFV **48** *θαυματὸν* e Schol. Rauchenstein **50** *ἔμμεν᾽* V **51** *κώπαν σχάσαις* (*σχάσας*) apud Schol. Aristophanis — *ἔρυσον* P diorth.[1] **52** *πρῴραθε* Bergk: *πρώραθε(ν)* — *χειράδος* PQRUV diorth.[1] — *ἄλκαρ* BV diorth.[1] : **ἀλκὰν**: utrumque EFG

ἐγκωμίων γὰρ ἄωτος ὕμνων
ἐπ' ἄλλοτ' ἄλλον ὥτε μέλισσα θύνει λόγον.

Στρ. δ'.

ἔλπομαι δ' Ἐφυραίων
ὄπ' ἀμφὶ Πηνεϊὸν γλυκεῖαν προχεόντων ἐμὰν
τὸν Ἱπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς
ἕκατι στεφάνων θαητὸν ἐν ἅλιξι θησέμεν ἐν καὶ παλαι-
τέροις,
νέαισίν τε παρθένοισι μέλημα. καὶ γὰρ
ἑτέροις ἑτέρων ἔρως ὑπέκνισε φρένας·

Ἀντ. δ'.

τῶν δ' ἕκαστος ὀρούει,
τυχών κεν ἁρπαλέαν σχέθοι φροντίδα τὰν πὰρ ποδός·
τὰ δ' εἰς ἐνιαυτὸν ἀτέκμαρτον προνοῆσαι.
πέποιθα ξενίᾳ προσανέϊ Θώρακος, ὅσπερ ἐμὰν ποι-
πνύων χάριν
τόδ' ἔζευξεν ἅρμα Πιερίδων τετράορον,
φιλέων φιλέοντ', ἄγων ἄγοντα προφρόνως.

Ἐπ. δ'.

πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει
καὶ νόος ὀρθός.
ἀδελφεούς τε ποταινήσομεν ἐσλούς, ὅτι
ὑψοῦ φέροντι νόμον Θεσσαλῶν
αὔξοντες, ἐνθ' ἀγαθοῖσι κεῖται
πατρώϊαι κεδναὶ πολίων κυβερνάσιες.

---

desunt A C K–O Γ–Ω

**54** ὥτε Böckh: ὥτε GI: ὥστε — μέλισσ' ἰθύνει diorth.[2] **56** Πηνεϊὸν I diorth.[1]: Πηνειὸν — προχ.] ἐκπροχ. diorth.[2] **57** Ἱπποκλέαν F: Ἱπποκλέα **58** ἅλιξιν BEFV diorth.[1] — ἐν καὶ diorth.[2]: ἔν τε καὶ B: ἔν τε (etiam B corr.) **60** ἑτέροις (V lemma) diorth.: ἑταίροισιν PQU: ἑτέροισιν — ἑτέρων] ἑταίρων U: ἑτέρου PQR — ὑπέκνισε Böckh: ὑπέκνιξε G. Hermann: ἐπέκνισε?: ἔκνιξέ γε diorth.[1]: ἔκνιξε τὰς diorth.[2]: ἔκνιξεν B: ἔκνιξε **63** ἀτέκμαρτα I **64** προσανέϊ diorth.[2]: προσανεῖ — πυπνοίων PQ **69** ἀδελφ.] κἀδελφ. diorth.[2] — τε ποταιν. Mommsen: μὲν ἐπαιν. Böckh: ἐπί τ' αἰν. Bergk: τε ἐπαιν. diorth.[1]: δὲ ἐπαιν. diorth.[2]: ἐπαιν. X: τ' ἐπαιν. — ἐσθλοὺς diorth.[2] **71** ἔνθ' U (Schol.): ἔν δ' — κεῖται DIPU diorth.[2] (Schol.): κεῖνται BEFV diorth.[1]: utrumque GQ

rush, dart along, hurry

Ephyra: Crannon. perhaps Χορευταὶ hired from there. seat of S

O. 3. 36.

variously desires

rush at, strive after

P. 8. 65.

P. 38. 60.

without distinctive mark, to..

soft, gentle

be out of breath, bustle about. labour

neighbours

ain of Ismenus: mother by Apollo of Ismenius: shared Ap. temple

dedicated by δαφναφόρος = priest of Ap. Ἰσμήνιος

before all others

divination by burnt offerings there cf. ἐπ' Ἰσμηνοῦ μαντείᾳ σποδῷ

dwelling in the country

assembled

bearing the best children

# ΠΥΘΙΟΝΙΚΑΙ ΙΑ'.

## ΘΡΑΣΥΔΑΙῼ ΘΗΒΑΙῼ

### ΠΑΙΔΙ ΣΤΑΔΙΕΙ.

Strophae.

– ⏑́ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –́ ⏓
– –́ ⏑ –́ ⏑ ⏑ – ⏒ ⏑ –́ ⏑ ⏑ ⏖ ⏑ – –́ ⏑ ⏑̆
⏖́ ⏑ – ⏑ ⏖ ⏑ –́ ⏑ ⏑ ⏑̆
⏒ ⏓ ⏖́ ⏑ ⏑ – – –́ ⏑ ⏖ –́ ⏑ ⏑ ⏑̆
– –́ ⏑ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ – ⏑ ⏑̆

Epodi.

–́ ⏑ ⏑ – ⏑ – –
⏖ ⏑ –́ ⏑ ⏑ – ⏓
– –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ – ⏑ ⏑̆
⏖ ⏑ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏑̆
⏑ –́ ⏑ –́ ⏑ – – ⏖ ⏑ –
⏓ –́ ⏑ – ⏓ –́ ⏑ ⏑ – ⏓

Στρ. α'.

Κάδμου κόραι, Σεμέλα μὲν Ὀλυμπιάδων ἀγυιᾶτις,
Ἰνὼ δὲ Λευκοθέα ποντιᾶν ὁμοθάλαμε Νηρηΐδων,
ἴτε σὺν Ἡρακλέος ἀριστογόνου
ματρὶ πὰρ Μελίαν χρυσέων ἐς ἄδυτον τριπόδων
θησαυρόν, ὃν περίαλλ' ἐτίμασε Λοξίας,

Ἀντ. α'.

Ἰσμήνειον δ' ὀνύμαξεν, ἀλαθέα μαντείων θῶκον,
ὦ παῖδες Ἁρμονίας, ἔνθα καί νυν ἐπίνομον ἡρωΐδων
στρατὸν ὁμηγερέα καλεῖ συνίμεν,
ὄφρα Θέμιν ἱερὰν Πυθῶνά τε καὶ ὀρθοδίκαν
γᾶς ὀμφαλὸν κελαδήσετ' ἄκρᾳ σὺν ἑσπέρᾳ,

---

desunt A C K–O Γ–Ω

Inscr. σταδιεῖ] σταδιοδρόμῳ G diorth.[1]

2 δὲ] τε (unus diorth.[1]) Böckh — Νηρηΐδων X diorth.: Νηρεΐδων 3 Ἡρακλέους diorth.[2] — ἀριστογόνου e Schol. Mommsen: ἀριστογόνῳ 4 ἐς diorth.[2]: om. Bergk: εἰς 6 Ἰσμήνειον EFPQRU: Ἰσμήνιον — ὠνύμαξεν diorth.[2] — μαντίων G. Hermann: μαντεῖον V diorth.[1] 7 καί νυν Er. Schmid: νῦν καὶ diorth.[2]: καὶ νῦν 8 ὁμηγερέα BEFZ: ὁμυγερέα V: ὁμαγυρέα Böckh: ὁμηγυρέα — συνίμεν BEFV diorth.[1] Schol.: συνέμεν 10 κελαδήσετ' Heyne: κελαδῆτε

Ἐπ. α΄.

ἑπταπύλοισι Θήβαις
χάριν ἀγῶνί τε Κίρρας,
ἐν τῷ Θρασυδαῖος ἔμνασεν ἑστίαν
τρίτον ἐπὶ στέφανον πατρῴαν βαλών,
ἐν ἀφνεαῖς ἀρούραισι Πυλάδα
νικῶν ξένου Λάκωνος Ὀρέστα.

Στρ. β΄.

τὸν δὴ φονευομένου πατρὸς Ἀρσινόα Κλυταιμνήστρας
χειρῶν ὕπο κρατερᾶν ἐκ δόλου τροφὸς ἄνελε δυσπενθέος,
ὁπότε Δαρδανίδα κόραν Πριάμου
Κασσάνδραν πολιῷ χαλκῷ σὺν Ἀγαμεμνονίᾳ
ψυχᾷ πόρευσ᾽ Ἀχέροντος ἀκτὰν παρ᾽ εὔσκιον

Ἀντ. β΄.

νηλὴς γυνά. πότερόν νιν ἄρ᾽ Ἰφιγένει᾽ ἐπ᾽ Εὐρίπῳ
σφαχθεῖσα τῆλε πάτρας ἔκνισεν βαρυπάλαμον ὄρσαι χόλον;
ἢ ἑτέρῳ λέχεϊ δαμαζομέναν
ἔννυχοι πάραγον κοῖται; τὸ δὴ νέαις ἀλόχοις
ἔχθιστον ἀμπλάκιον καλύψαι τ᾽ ἀμάχανον

Ἐπ. β΄.

ἀλλοτρίαισι γλώσσαις·
κακολόγοι δὲ πολῖται.
ἴσχει τε γὰρ ὄλβος οὐ μείονα φθόνον·
ὁ δὲ χαμηλὰ πνέων ἄφαντον βρέμει.
θάνεν μὲν αὐτὸς ἥρως Ἀτρεΐδας
ἵκων χρόνῳ κλυταῖς ἐν Ἀμύκλαις,

Στρ. γ΄.

μάντιν τ᾽ ὄλεσσε κόραν, ἐπεὶ ἀμφ᾽ Ἑλένᾳ πυρωθέντων

---

desunt A C K–O Γ–Ω

**13** ἔμνασέ μ᾽ G. Hermann: ἄμνασεν Kayser — ἑστιᾶν... πατρῴᾶν? **14** ἔπι G. Hermann **16** νικᾶν G. Hermann **18** χειρῶν Er. Schmid: χερῶν — ὕπο DGI diorth.[2]: ὑπὸ — κρατερᾶν DGI diorth.: καρτερᾶν BV: καρτερῶν et κρατερῶν **20** Κασσάνδραν EGIU diorth.[2]: Κασάνδραν **21** πόρευσ᾽ B diorth.[2]: πόρευσεν et πόρευ᾽ **22** -νει᾽ I diorth.[2]: -νεια **23** χόλον] λόγον V diorth.[1]: utrumque Schol.? **24** λέχεϊ δαμαζ. diorth.[2]: λέχει δαμαζ. BEF: λέχει δαμαλιζ. **25** ἐννύχιοι B: ἔννυχον V — τὸ δὴ] τὸ δὲ (I corr.) Pauw: τόδε diorth.[2] **26** ἀμβλάκιον B (EF ante corr.) — ἀμηχ. DPQR **30** ἄφαντος D: ἄφατον PQRU **31** Ἀτρεΐδας diorth.: Ἀτρείδας **32** ἵκων GI: ἥκων U diorth.[2]: ἱκὼν — κλειταῖς BDEGI **33** Ἑλένῃ B (lemma B -ᾳ)

recall to memory, make famous

12.10.

Feminine.

swaying fronded

on the ground, low. one of a creeping spirit

invisible, in secret
shout; clamour

..ee from, rob of

with interranging paths

branching of one road into two. so he has gone down a sidepath.

stir, wag sc. φωνάν

be brilliant

ὁπλιτόδρομος

put to shame

*Τρώων ἔλυσε δόμους ἁβρότατος. ὁ δ᾽ ἄρα γέροντα ξένον*
*Στρόφιον ἐξίκετο νέα κεφαλᾷ,*
*Παρνασοῦ πόδα ναίοντ᾽· ἀλλὰ χρονίῳ σὺν Ἄρει*
*πέφνεν τε ματέρα θῆκέ τ᾽ Αἴγισθον ἐν φοναῖς.*

*Ἀντ. γ΄.*

*Ἦ ῥ᾽, ὦ φίλοι, κατ᾽ ἀμευσιπόρους τριόδους ἐδινήθην,*
*ὀρθὰν κέλευθον ἰὼν τὸ πρίν· ἤ μέ τις ἄνεμος ἔξω πλόου*
*ἔβαλεν, ὡς ὅτ᾽ ἄκατον εἰναλίαν.*
*Μοῖσα, τὸ δ᾽ ἐτεὸν εἰ μισθῷ παρεχέμεν συνέθευ*
*φωνὰν ὑπάργυρον, ἄλλοτ᾽ ἄλλᾳ ταρασσέμεν*

*Ἐπ. γ΄.*

*ἢ πατρὶ Πυθονίκῳ*
*τό γέ νυν ἢ Θρασυδαίῳ·*
*τῶν εὐφροσύνα τε καὶ δόξ᾽ ἐπιφλέγει.*
*τὰ μὲν ἐν ἅρμασι καλλίνικοι πάλαι*
*Ὀλυμπίᾳ τ᾽ ἀγώνων πολυφάτων*
*ἔσχον θοὰν ἀκτῖνα σὺν ἵπποις·*

*Στρ. δ΄.*

*Πυθοῖ τε γυμνὸν ἐπὶ στάδιον καταβάντες ἤλεγξαν*
*Ἑλλανίδα στρατιὰν ὠκύτατι. θεόθεν ἐραίμαν καλῶν,*
*δυνατὰ μαιόμενος ἐν ἁλικίᾳ.*
*τῶν γὰρ ἀνὰ πόλιν εὑρίσκων τὰ μέσα μακροτέρῳ*
*ὄλβῳ τεθαλότα, μέμφομ᾽ αἶσαν τυραννίδων·*

---

desunt A C K–O *Γ–Ω*

**34** *γέροντα ξένον* diorth.: *ξένον γέροντα* **35** *ἐξίκετο, νέα κεφαλά,* Heyne (Schol.?) **36** *Παρνασσοῦ* GIPQR — *χρονίῳ* diorth.[2]: *γε χρόνῳ* diorth.[1]: *χρόνῳ* **37** *πέφνεν τε* diorth.[1]: *ἔπεφνέ τε* V: *ἔκπεφνε* diorth.[2]: *ἔπεφνε* — *μητέρα* P diorth.[1] **38** *ἥ ῥ᾽* (B supra) V: *ἣ ῥ᾽* et *ἦρ᾽* — *φίλοι*] *φίλη* PR: utrumque EF — *ἀμευσιπόρους τριόδους* G. Hermann: *ἀμευσίπορον τριοδόν γ᾽* diorth.[2]: *ἀμευσίπορον τρίοδον* (etiam Schol. et Eustath.) — *ἐδινήθην* B: *ἐδινάθην* **39** *ἤ*] *ἦ* IPQ — *με*] *μέν* EFPR **40** *εἰναλίαν* diorth.: *ἐναλίαν* **41** *τὸ δ᾽ ἐτεὸν*] *τὸ δὲ τεόν* P diorth.[1] — *παρεχέμεν συνέθευ* G. Hermann: *γε συνέθευ παρέχειν* Er. Schmid: *συνετίθευ παρέχειν* Böckh: *συνέθευ εὖ παρέχειν* diorth.[2]: *συνέθευ παρέχειν* **42** *φωνὰν ὑπ.* cum sqq. coni. Böckh — *ἄλλοτ᾽ ἄλλᾳ* Heyne: *ἄλλα γε χρὴ* diorth.[2]: *ἄλλοτ᾽ ἄλλᾳ* (*ἄλλα*) *χρὴ* **43** *Πυθονίκῳ* diorth.[2]: *Πυθιονίκῳ*: *Πυθιονίκου* (Q supra) R (unus Schol.) **44** *γέ νυν* Er. Schmid: *γε νῦν* **45** *δόξα* BEFV **46** *μὲν ἐν* diorth.[2]: *μὲν ἄρ᾽*?: *μὲν* **47** *Ὀλυμπίᾳ τ᾽*] *Ὀλυμπίας* Er. Schmid: *Ὀλυμπίᾳ* Beck: *Ὀλυμπίαν* Böckh — *πολύφατον* et *πολυφάτων* BEFR **48** *θοαῖς* Hartung **49** *γυμνοὶ* PQR — *ἤλεγξάν γ᾽* diorth.[2] **50** *ἀραίμαν* diorth.[1] **52** *ἀνὰ*] *ἂν* diorth.[1]: *ἂμ* G. Hermann — *μακροτέρῳ* Er. Schmid: *μακροτάτῳ* diorth.[2] (Schol.?): *μακροτέρῳ σὺν* BV diorth.[1]: *μακροτάτῳ σὺν*

*Ἀντ. δ'.*

*ξυναῖσι δ' ἀμφ' ἀρεταῖς τέταμαι· φθονεροὶ δ' ἀμύνονται*
*ἄτᾳ, εἴ τις ἄκρον ἑλὼν ἡσυχᾷ τε νεμόμενος αἰνὰν ὕβριν*
*ἀπέφυγεν, μέλανος ἀν' ἐσχατιὰν*
*καλλίονα θανάτου ταύταν γλυκυτάτᾳ γενεᾷ*
*εὐώνυμον κτεάνων κρατίσταν χάριν πορών.*

*Ἐπ. δ'.*

*ἅ τε τὸν Ἰφικλείδαν*
*διαφέρει Ἰόλαον*
*ὑμνητὸν ἐόντα, καὶ Κάστορος βίαν,*
*σέ τε, ἄναξ Πολύδευκες, υἱοὶ θεῶν,*
*τὸ μὲν παρ' ἆμαρ ἕδραισι Θεράπνας,*
*τὸ δ' οἰκέοντας ἔνδον Ὀλύμπου.*

---

desunt A C K–O *Γ–Ω*

**54** om. *δ'* V diorth.[1] **54** sq. *ἀμύνονται ἄτα* (i. e. *ἄτᾳ*) PQR: *ἀμύνονται ἆται* G. Hermann: *ἀμύνοντ' ἄτα* (*ἄτᾳ*) **55** *ἡσυχᾷ* Mommsen: *ἁσυχᾷ* G. Hermann: *ἡσυχῶς* diorth.[2]: *ἡσυχίᾳ* **56** *μέλανος ἀν'* Er. Schmid: *μέλανος δ'* (om. *ἀν'*) B (lemma E): *μέλανα δ' ἀν'* olim G. Hermann: *μέλανος δ' ἀν'* **57** *καλλίω* diorth.[2] — *θανάτου* B diorth.[2]: *θάνατον* — *ταύταν* G. Hermann: *τοῦτον* Mommsen: *σχήσει* Thiersch: *ἔσχεν* diorth.[2] Rom.: *ἔσχεν ἐν* DI: *ἐν* **58** *κράτιστον* et *κρατίσταν* B **62** *τε* diorth.: *τ'* **64** *ἔνδον*] *ἕδος* EF

---

## ΠΥΘΙΟΝΙΚΑΙ ΙΒ'.

# ΜΙΔᾼ ΑΚΡΑΓΑΝΤΙΝῼ

### ΑΥΛΗΤῌ.

---

– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏕ –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏕

'such glories as all & may win' ... exert oneself, be anxious
Xiuedvris

bringing sore affliction, direful

0.7.12.

Στρ. α′.

Αἰτέω σε, φιλάγλαε, καλλίστα βροτεᾶν πολίων,
Φερσεφόνας ἕδος, ἅ τ᾽ ὄχθαις ἔπι μηλοβότου
ναίεις Ἀκράγαντος ἐΰδμητον κολώναν, ὦ ἄνα,
ἵλαος ἀθανάτων ἀνδρῶν τε σὺν εὐμενείᾳ
δέξαι στεφάνωμα τόδ᾽ ἐκ Πυθῶνος εὐδόξῳ Μίδᾳ,
αὐτόν τέ νιν Ἑλλάδα νικάσαντα τέχνᾳ, τάν ποτε
Παλλὰς ἐφεῦρε θρασειᾶν Γοργόνων
οὔλιον θρῆνον διαπλέξαισ᾽ Ἀθάνα·

Στρ. β′.

τὸν παρθενίοις ὑπό τ᾽ ἀπλάτοις ὀφίων κεφαλαῖς
ἄϊε λειβόμενον δυσπενθέϊ σὺν καμάτῳ,
Περσεὺς ὁπότε τρίτον ἄνυσσεν κασιγνητᾶν μέρος,
εἰναλίᾳ τε Σερίφῳ λαοῖσί τε μοῖραν ἄγων.
ἤτοι τό τε θεσπέσιον Φόρκοι᾽ ἀμαύρωσεν γένος,
λυγρόν τ᾽ ἔρανον Πολυδέκτᾳ θῆκε ματρός τ᾽ ἔμπεδον
δουλοσύναν τό τ᾽ ἀναγκαῖον λέχος,
εὐπαράου κρᾶτα συλάσαις Μεδοίσας

Στρ. γ′.

υἱὸς Δανάας· τὸν ἀπὸ χρυσοῦ φαμὲν αὐτορύτου
ἔμμεναι. ἀλλ᾽ ἐπεὶ ἐκ τούτων φίλον ἄνδρα πόνων
ἐρρύσατο παρθένος, αὐλῶν τεῦχε πάμφωνον μέλος,
ὄφρα τὸν Εὐρυάλας ἐκ καρπαλιμᾶν γενύων
χριμφθέντα σὺν ἔντεσι μιμήσαιτ᾽ ἐρικλάγκταν γόον.
εὗρεν θεός· ἀλλά νιν εὑροῖσ᾽ ἀνδράσι θνατοῖς ἔχειν,
ὠνύμασεν κεφαλᾶν πολλᾶν νόμον,

---

desunt A C K–O Γ–Ω

1 πόλεων PQR 2 ὄχθους V — ἔπι Er. Schmid: ἐπὶ 3 ἐΰδμητον Mommsen: ἐΰδματον Er. Schmid: ἐς εὔδματον diorth.[2]: εὔδματον — ἄναξ PQR: ἄνα, θ᾽ diorth.[2] 4 εὐμενίᾳ GIV diorth. 5 εὐδόξου Μίδα EFR (Schol.?) 6 νικήσ. EFV diorth.[1] 7 Γοργόνων PQR diorth.[2] Schol.: omittunt reliqui 8 -ξαισ᾽ Ἀθάνα BV: -ξασα (om. Ἀθάνα) PQRU: -ξασ᾽ Ἀθάνα 10 δυσπενθέϊ diorth.: δυσπενθεῖ 11 ἄνυσσεν Böckh: ἄνυσεν Pauw: αὖσεν diorth.[1]: ἄϋσεν GH diorth.[2]: ἄϋσε 12 εἰναλίᾳ diorth.[1]: ἐναλίᾳ — τε G. Hermann: ἐ Mommsen: omittunt reliqui — Σερίφῳ] πέτρᾳ G. Hermann — λαοῖσί τε] ταῖσί τε vel τοῖσί τε G. Hermann 13 ἤτοι EFPQ diorth.[2]: ἤ τοι — Φόρκοιο μαύρωσεν G. Hermann 16 συλάσαις Heyne: συλήσαις B: συλήσας G: συλλήσας diorth.[2]: συλήσας 17 αὐτορύτου EF diorth.: αὐτορρύτου 19 παρθένος cum sqq. coni. Heyne 22 νιν] μιν B (lemma B νιν) — ἔχε κὠνόμασε diorth.[1] 23 ὠνύμ. Mommsen: ὠνόμ. — πολλῶν B

εὐκλεᾶ λαοσσόων μναστῆρ' ἀγώνων,

Στρ. δ'.

λεπτοῦ διανισόμενον χαλκοῦ θαμὰ καὶ δονάκων,
τοὶ παρὰ καλλιχόρῳ ναίοισι πόλει Χαρίτων,
Καφισίδος ἐν τεμένει, πιστοὶ χορευτᾶν μάρτυρες.
εἰ δέ τις ὄλβος ἐν ἀνθρώποισιν, ἄνευ καμάτου
οὐ φαίνεται· ἐκ δὲ τελευτάσει νιν ἤτοι σάμερον
δαίμων. τὸ δὲ μόρσιμον οὐ παρφυκτόν· ἀλλ' ἔσται χρόνος
οὗτος, ὃ καί τιν' ἀελπίᾳ βαλὼν
ἔμπαλιν γνώμας τὸ μὲν δώσει, τὸ δ' οὔπω.

---

desunt A C K–O Γ–Ω

**24** *εὐκλεᾶ* Er. Schmid: *εὐκλέα* — *λαοσσόον* V diorth.[1] — *μναστῆρ'* BDEF diorth.: *πρηστῆρ'* PQ: *μνηστῆρ'* (etiam apud Eustathium) **25** *διανισσόμενον* V diorth.[1] — *θαμά*] *θ' ἅμα* V diorth.[1] **26** *καλλίχορον* G. Hermann — *ναίουσι* (lemma B) DFI — *πόλει* V diorth.[1]: *πόλι* Bergk: *πόλιν* **27** *Καφησίδος* PQV diorth.[2]: *Καφισσίδος* DR diorth.[1] — *χορευταὶ* B **29** *ἤτοι* Böckh: *ἤ τοι* **30** *τὸ δὲ* Q diorth.[2] Schol.: *τό γε* — *οὔ πα φυκτόν* V diorth.[1] **31** *ἀελπίᾳ* BPQU: *ἀελπείᾳ*?: *ἀελπίαν* T: *ἀελπτίαν* diorth.[1]: *ἀελπτίᾳ*

# ΝΕΜΕΟΝΙΚΑΙ.

## ΝΕΜΕΟΝΙΚΑΙ Α΄.

## ΧΡΟΜΙΩι ΑΙΤΝΑΙΩι

ΙΠΠΟΙΣ.

### Strophae.

– –́ ⏑ – ⏓ –́ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – ⏓ –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓

### Epodi.

–́⏑⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏓

Στρ. α΄.

*Ἄμπνευμα σεμνὸν Ἀλφεοῦ,*
*κλεινᾶν Συρακοσσᾶν θάλος Ὀρτυγία,*
*δέμνιον Ἀρτέμιδος,*
*Δάλου κασιγνήτα, σέθεν ἁδυεπὴς*
*ὕμνος ὁρμᾶται θέμεν*
*αἶνον ἀελλοπόδων μέγαν ἵππων, Ζηνὸς Αἰτναίου χάριν·*

---

desunt A C E–T Γ–Ω
1 Ἀλφεοῦ et Ἀλφειοῦ B 4 ἁδ.] ἀδ. D

ἅρμα δ' ὀτρύνει Χρομίου Νεμέα θ' ἔργμασιν νικαφόροις
ἐγκώμιον ζεῦξαι μέλος.

Ἀντ. α'.

ἀρχαὶ δὲ βέβληνται θεῶν
κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς.
ἔστι δ' ἐν εὐτυχίᾳ
πανδοξίας ἄκρον· μεγάλων δ' ἀέθλων
Μοῖσα μεμνᾶσθαι φιλεῖ.
σπεῖρέ νυν ἀγλαΐαν τινὰ νάσῳ, τὰν Ὀλύμπου δεσπότας
Ζεὺς ἔδωκεν Φερσεφόνᾳ, κατένευσέν τέ οἱ χαίταις, ἀρι-
στεύοισαν εὐκάρπου χθονὸς

Ἐπ. α'.

Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων ἀφνεαῖς·
ὤπασε δὲ Κρονίων πολέμου μναστῆρά οἱ χαλκεντέος
λαὸν ἵππαιχμον θαμὰ δὴ καὶ Ὀλυμπιάδων φύλλοις
ἐλαιᾶν χρυσέοις
μιχθέντα. πολλῶν ἐπέβαν καιρόν, οὐ ψεύδει βαλών.

Στρ. β'.

ἔσταν δ' ἐπ' αὐλείαις θύραις
ἀνδρὸς φιλοξείνου καλὰ μελπόμενος,
ἔνθα μοι ἁρμόδιον
δεῖπνον κεκόσμηται, θαμὰ δ' ἀλλοδαπῶν
οὐκ ἀπείρατοι δόμοι
ἐντί· λέλογχε δὲ μεμφομένοις ἐσλοὺς ὕδωρ καπνῷ φέρειν
ἀντίον. τέχναι δ' ἑτέρων ἕτεραι· χρὴ δ' ἐν εὐθείαις
ὁδοῖς στείχοντα μάρνασθαι φυᾷ.

Ἀντ. β'.

πράσσει γὰρ ἔργῳ μὲν σθένος,
βουλαῖσι δὲ φρήν, ἐσσόμενον προϊδεῖν
συγγενὲς οἷς ἕπεται.

---

desunt A C E–T Γ–Ω

**7** ἕρμασι B: ἔργμασι D **11** μεγάλων BU diorth.²: μεγίστων DV diorth.¹ **13** σπεῖρέ νυν e Schol. Beck: νῦν ἔγειρ' diorth.²: ἔγειρε νῦν **14** χαίτας V diorth.¹ **16** χαλκεντείος B?: χαλκέντεον X diorth.¹ **17** θαμὰ] θ' ἅμα diorth.²: utrumque D (Schol.) — χρυσέοις diorth.²: χρυσέοισι **18** ἐπέβαν καιρόν, οὐ Philippus Melanchthon: ἐπέβαν, καιρὸν οὐ Schol. **23** δόμοι] ξένων (lemma B) **24** μεμφόμενοι unus Schol.?: μεμφομένοι' Ahrens: μεμφομένοις (etiam Schol. cum Aristarcho) — ἐσλοὺς diorth.² (Aristarchus?): ἐσλῶς unus Schol.: ἐσλὸς — καπνῷ diorth.² (Schol.?): καπνὸν X diorth.¹: καπνῶ **27** sq. interpunctio Stephano debetur

thy character are faculties possessing both this endowment & that of mere variety. Fen. Ol. 2.53.

Ἀγησιδάμου παῖ, σέο δ' ἀμφὶ τρόπῳ
τῶν τε καὶ τῶν χρήσιες.
οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον κατακρύψαις ἔχειν,
ἀλλ' ἐόντων εὖ τε παθεῖν καὶ ἀκοῦσαι φίλοις ἐξαρκέων.
κοιναὶ γὰρ ἔρχοντ' ἐλπίδες

Ἐπ. β'.

πολυπόνων ἀνδρῶν. ἐγὼ δ' Ἡρακλέος ἀντέχομαι προφρόνως,
ἐν κορυφαῖς ἀρετᾶν μεγάλαις ἀρχαῖον ὀτρύνων λόγόν,
ὡς ἐπεὶ σπλάγχνων ὕπο ματέρος αὐτίκα θαητὰν ἐς αἴγλαν παῖς Διὸς
ὠδῖνα φεύγων διδύμῳ σὺν κασιγνήτῳ μόλεν,

Στρ. γ'.

ὥς τ' οὐ λαθὼν χρυσόθρονον
Ἥραν κροκωτὸν σπάργανον ἐγκατέβα·
ἀλλὰ θεῶν βασιλέα
σπερχθεῖσα θυμῷ πέμπε δράκοντας αφαρ.
τοὶ μὲν οἰχθεισᾶν πυλᾶν
ἐς θαλάμου μυχὸν εὐρὺν ἔβαν, τέκνοισιν ὠκείας γνάθους
ἀμφελίξασθαι μεμαῶτες· ὁ δ' ὀρθὸν μὲν ἄντεινεν κάρα,
πειρᾶτο δὲ πρῶτον μάχας,

Ἀντ. γ'.

δισσαῖσι δοιοὺς αὐχένων
μάρψαις ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας·
ἀγχομένοις δὲ χρόνος
ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων.
ἐκ δ' ἄρ' ἄτλατον δέος
πλᾶξε γυναῖκας, ὅσαι τύχον Ἀλκμήνας ἀρήγοισαι λέχει·
καὶ γὰρ αὐτά, ποσσὶν ἄπεπλος ὀρούσαισ' ἀπὸ στρωμνᾶς,
ὁμῶς ἄμυνεν ὕβριν κνωδάλων.

---

desunt A C E–T Γ–Ω

**29** τρόπων U **31** -ψαις et -ψας diorth.[2]: -ψας **35** ὡς ἐπεὶ] ὡς, ἐπεὶ Stephanus: ὡς ἄρα G. Hermann: ὥς ποτε Rauchenstein: τόνδ', ὅπως Beck: τοῦδ'· ὅπᾳ Mommsen — θηητὰν D diorth.[2] — ἐς diorth.: εἰς **37** ὥς τ' οὐ] οὔτοι vel ὡς οὐ G. Hermann **38** ἐγκατέβαν UV diorth.[1] **39** βασιλέα Böckh: βασιλὶς Er. Schmid: βασίλα (Pauw) Buttmann: βασιλεία diorth.[2]: βασίλεια **43** ἀνέτεινε BD (lemma B ἄντεινε) **45** -ψαις B: -ψας **48** δέος] βέλος (V ante corr.) X diorth.[1] **50** -σαισ' BD: -σασ' — ὁμῶς] ὅμως Stephanus

Ἐπ. γʹ.

*ταχὺ δὲ Καδμείων ἀγοὶ χαλκέοις ἀθρόοι σὺν ὅπλοις ἔδραμον·*
*ἐν χερὶ δ' Ἀμφιτρύων κολεοῦ γυμνὸν τινάσσων φάσγανον*
*ἵκετ', ὀξείαις ἀνίαισι τυπείς. τὸ γὰρ οἰκεῖον πιέζει πάνθ' ὁμῶς·*
*εὐθὺς δ' ἀπήμων κραδία κᾶδος ἀμφ' ἀλλότριον.*

Στρ. δʹ.

*ἔστα δὲ θάμβει δυσφόρῳ*
*τερπνῷ τε μιχθείς. εἶδε γὰρ ἐκνόμιον*
*λῆμά τε καὶ δύναμιν*
*υἱοῦ· παλίγγλωσσον δέ οἱ ἀθάνατοι*
*ἀγγέλων ῥῆσιν θέσαν.*
*γείτονα δ' ἐκκάλεσαν Διὸς ὑψίστου προφάταν ἔξοχον,*
*ὀρθόμαντιν Τειρεσίαν· ὁ δὲ οἷ φράζε καὶ παντὶ στρατῷ, ποίαις ὁμιλήσει τύχαις,*

Ἀντ. δʹ.

*ὅσσους μὲν ἐν χέρσῳ κτανών,*
*ὅσσους δὲ πόντῳ θῆρας ἀϊδροδίκας·*
*καί τινα σὺν πλαγίῳ*
*ἀνδρῶν κόρῳ στείχοντα τὸν ἐχθρότατον*
*φᾶσέ νιν δώσειν μόρον.*
*καὶ γὰρ ὅταν θεοὶ ἐν πεδίῳ Φλέγρας Γιγάντεσσιν μάχαν*
*ἀντιάζωσιν, βελέων ὑπὸ ῥιπαῖσι κείνου φαιδίμαν γαίᾳ πεφύρσεσθαι κόμαν*

Ἐπ. δʹ.

*ἔνεπεν· αὐτὸν μὰν ἐν εἰρήνᾳ τὸν ἅπαντα χρόνον κὰν σχερῷ* cf. ἐφεξῆς unbroken

---

desunt A C E–S (usque ad vs. 54 incl. etiam T) Γ–Ω

**51** *ἀθρ. σὺν ὅπλ. ἔδρ.* G. Hermann: *σὺν ὅπλ. ἀθρ. ἔδρ.* diorth.[2]: *σὺν ὅπλ. ἔδρ. ἀθρ.* **52** *τινάσσων φάσγανον* diorth.[1]: *ξίφος ἐκτινάσσων* diorth.[2]: *τινάσσων* (om. *φάσγανον*) **54** *κραδία* Er. Schmid: *καρδία* **58** *παλίγλ.* V diorth.[1] — *δέ οἱ*] *ὅ οἱ* TU **60** *ἐκκάλεσαν* et *ἐκάλεσαν* BV: *ἐκκάλεσαν* D: *ἐκκάλεσεν* diorth.[2]: *ἐκάλεσεν* Rom.: *ἐκάλεσαν* (etiam Schol.) **61** *οἷ* Böckh: *οἱ* **63** *δὲ* Er. Schmid: *δ' ἐν* **64** sq. *τινι . . . στείχοντι* G. Hermann **65** *στέχοντα* diorth.[2] — *τῷ ἐχθροτάτῳ* Beck **66** *φᾶσέν ἰν* G. Hermann — *δώσειν*] *παύσειν* Ahrens: *γεύσειν, πίσειν?* — *μόρον*] *μόρῳ* Beck **68** *γαῖαν* D — *πεφυρήσεσθαι* UVX: *πεφυρήσασθαι* lemma T **69** *ἔνεπεν* diorth.[1]: *ἔννεπεν* — *μὰν* BD diorth.[2]: *μὲν* (etiam lemma B) — *εἰράνᾳ* Heyne — *τὸν ἅπαντα χρόνον κὰν σχερῷ* duce Schol.

Ant. 1313. Τεκμῆσσαν οἴκτῳ τῷδε συγκεκραμένη

Oed. R. τοὺς αὐτοέντας χειρὶ τιμωρεῖν τινάς.

cf. radere in pulvere crines.

froward

ἡσυχίαν καμάτων μεγάλων ποινὰν λαχόντ᾽ ἐξαίρετον
ὀλβίοις ἐν δώμασι, δεξάμενον θαλερὰν Ἥβαν ἄκοιτιν καὶ γάμον
δαίσαντα, πὰρ Διῒ Κρονίδᾳ σεμνὸν αἰνήσειν νόμον.

---

desunt A C E–S Γ–Ω

Mommsen: τ. ἅ. χρ. ἐν σχερῷ G. Hermann: καμάτων μεγάλων ἐν σχερῷ Böckh: τὸν ἅπ. χρ. σχεῖν ἀεὶ diorth.¹: τὸν ἅπαντα χρόνον σχερῷ
70 ἀσυχίαν Heyne — ἡσ. καμ. μεγ.] ἀσ. τὸν ἅπαντα χρόνον Böckh 72 Διὶ Bergk: Διΐ — αἰνήσει B — νόμον (Pauw) e Schol. Mommsen: δόμον DTU diorth.²: γάμον V diorth.¹: et δόμον et γάμον B λέχος F.

---

## NEMEONIKAI B′.

# ΤΙΜΟΔΗΜῼ ΑΘΗΝΑΙῼ

### ΠΑΓΚΡΑΤΙΑΣΤῌ.

⏑ ⏒ ⏒ ⏑ ⏑ – ⏑ ⏓
– ⏒ ⏑ ⏑ – ⏑ – ⏑ – ⏕
x ⏖ ⏒ ⏑ ⏑ – ⏑ x ⏕ ⏒ ⏑ ⏑ – –
x ⏑ ⏒ ⏑ ⏑ – ⏑ – x – ⏒ ⏑ ⏑ – ⏑ – x ⏖ ⏒ ⏑ ⏑ – ⏕
⏒ ⏑ ⏑ – ⏖ ⏒ ⏑ ⏑ – ⏕

Στρ. α′.

Ὅθενπερ καὶ Ὁμηρίδαι Chian bards.
ῥαπτῶν ἐπέων τὰ πόλλ᾽ ἀοιδοὶ
ἄρχονται, Διὸς ἐκ προοιμίου· καὶ ὅδ᾽ ἀνὴρ
καταβολὰν ἱερῶν ἀγώνων νικαφορίας δέδεκται πρῶτον Νεμεαίου
ἐν πολυυμνήτῳ Διὸς ἄλσει.

Στρ. β′.

is incumbent. ὀφείλει δ᾽ ἔτι, πατρίαν
εἴπερ καθ᾽ ὁδόν νιν εὐθυπομπὸς guiding straight

---

desunt A C E–S Γ–Ω

Inscr. παγκρατεῖ D diorth.²: παγκράτιον TU
2 ταπολλ᾽ X diorth.¹ — ἀοιδᾷ apud Schol. ad Nem. 4 ἱερῶν Er. Schmid: ἱρᾶν X diorth.¹: ἱερᾶν — πρῶτα diorth.²: πρώταν Heyne — Νεμαίου X diorth.¹ 6 δ᾽ ἔτι TUV: δέ τι BD diorth. — πατρίαν] πατρώαν diorth.¹: utrumque V 7 κάθοδόν νιν BTU — εὐθυπομπὸς V (Schol.): εὐθυπεμπὴς X: εὐθυπομπὴς diorth.¹: εὐθύποντος D: εὐθύπομπος

*αἰὼν ταῖς μεγάλαις δέδωκε κόσμον Ἀθάναις,*
*θαμὰ μὲν Ἰσθμιάδων δρέπεσθαι κάλλιστον ἄωτον, ἐν Πυθίοισί τε νικᾶν*
*Τιμονόου παῖδ᾽. ἔστι δ᾽ ἐοικὸς*

Στρ. γ′.

*ὀρειᾶν γε Πελειάδων*
*μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι.*
*καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι φῶτα μαχατὰν*
*δυνατός. ἐν Τροΐᾳ μὲν Ἕκτωρ Αἴαντος ἄκουσεν· ὦ Τιμόδημε, σὲ δ᾽ ἀλκὰ*
*παγκρατίου τλάθυμος ἀέξει.*

Στρ. δ′.

*Ἀχάρναι δὲ παλαίφατον*
*εὐάνορες· ὅσσα δ᾽ ἀμφ᾽ ἀέθλοις,*
*Τιμοδημίδαι ἐξοχώτατοι προλέγονται.*
*παρὰ μὲν ὑψιμέδοντι Παρνασῷ τέσσαρας ἐξ ἀέθλων νίκας ἐκόμιξαν·*
*ἀλλὰ Κορινθίων ὑπὸ φωτῶν*

Στρ. ε′.

*ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς*
*ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη·*
*ἑπτὰ δ᾽ ἐν Νεμέᾳ· τὰ δ᾽ οἴκοι μάσσον᾽ ἀριθμοῦ*
*Διὸς ἀγῶνι. τόν, ὦ πολῖται, κωμάξατε Τιμοδήμῳ σὺν εὐκλέϊ νόστῳ·*
*ἁδυμελεῖ δ᾽ ἐξάρχετε φωνᾷ.*

---

desunt A C E–S Γ–Ω

**10** distinguunt diorth.: non distinguunt reliqui — *ἔστι*] *ἔτι* UX diorth.[1] **11** *ὀρειᾶν*] *θερειᾶν* Crates apud Schol. **12** *Ὠαρίωνα νεῖσθαι* TV (apud Athenaeum *Ὀαρ.*): *Ὠαρίων᾽ ἀνεῖσθαι* BD (Schol. B ad Nem.): *Ὡρι. ν.* UXZ (Schol. ad h. l. et Schol. U ad Nem.): *Ὠρ. ν.* diorth. **14** *Τρωΐᾳ* Böckh: *Τροΐᾳ* Er. Schmid: *Τροίᾳ* — *μὲν* TU diorth.([1])[2]: *μὰν* — om. *ὦ* diorth.[2] — (*ὦ*) *Τιμ.* cum antecedentibus coni. BD diorth.[2] — *σὲ*] *σὰ* UV diorth.[1] **15** *παγκράτιον* X diorth.[1] **16** *Ἀχαρναὶ* B diorth.[2] (Schol. B) — *παλαίφατοι* (unus diorth.[1]) unus Schol.? **19** *παρὰ μὲν* diorth.[2]: *τὰ μὲν* X diorth.[1]: *τὰ μὲν ἐν* Pauw: *πὰρ μὲν* — *Παρνασῷ* (lemma et Schol. B) diorth.[1]: *Παρνασσῷ* **21** *ἐσθλοῦ* XZ **23** *μᾶσσον* TUV diorth.[1] — *ἀριθμοῦ* solum V diorth.[1]: *ἀριθμῷ* solum D: utrumque diorth.[2]: et *ἀριθμοῦ* et *ἀριθμῶ* BTU **24** *Τιμοδήμου* diorth.[2] supra: *Τιμοδήμῳ* et *Τιμοδήμω* — *εὐκλέϊ* Rom.: *εὐκλεεῖ* **25** *ἁδυμ.*] *ἀδυμ.* D

'indeed .. andbesides' ..

## NEMEONIKAI Γʹ.

# ΑΡΙΣΤΟΚΛΕΙΔΗι ΑΙΓΙΝΗΤΗι

### ΠΑΓΚΡΑΤΙΑΣΤΗι.

---

### Strophae.

– –́ ⏑ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏓
–́ ⏑ – ⏑ – ⏑ ⏖́ ⏑ – ⏑ – ⏖́ ⏑ ⏓
x⏖ ⏑ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏖ ⏑ ⏓
⏑ –́ ⏑ – x ⏑ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏓
– –́ ⏑ – ⏑ – ⏑ x⏖ ⏑ –́ ⏑ ⏑ ⏓
– –́ ⏑ – ⏒ –́ ⏑ ⏑ ⏖ ⏒
–́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏓
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ –́ ⏑ – ⏑ – ⏒

### Epodi.

–́ ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏒ –́ ⏑ – –
⏑ ⏖́ ⏑ – ⏑ – ⏑ x⏖ ⏑ –́ ⏑ ⏑ – | ⏑ – ⏑ – –́ ⏑ ⏓
x ⏑ –́ ⏑ ⏑ – x ⏑ –́ ⏑ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏑ – x ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏖ ⏑ ⏓
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏓

Στρ. αʹ.

*Ὦ πότνια Μοῖσα, μᾶτερ ἁμετέρα, λίσσομαι,*
*τὰν πολυξέναν ἐν ἱερομηνίᾳ Νεμεάδι*
*ἵκεο Δωρίδα νᾶσον Αἴγιναν. ὕδατι γὰρ*
*μένοντ᾽ ἐπ᾽ Ἀσωπίῳ μελιγαρύων τέκτονες*
*κώμων νεανίαι, σέθεν ὄπα μαιόμενοι.*
*διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλου·*
*ἀεθλονικία δὲ μάλιστ᾽ ἀοιδὰν φιλεῖ,*
*στεφάνων ἀρετᾶν τε δεξιωτάταν ὀπαδόν.*

Ἀντ. αʹ.

*τᾶς ἀφθονίαν ὄπαζε μήτιος ἁμᾶς ἄπο·*
*ἄρχε δ᾽, οὐρανῷ πολυνεφέλᾳ κρέοντι θύγατερ,*

---

desunt A C E–U Γ–Ω

**1** om. ὦ BV (diorth.[1]): habent ὦ (lemma B) DX diorth.([1])[2] — *Μοῦσα* D diorth.[2] **2** *πολυξέναν* diorth.[1]: *πολυξείναν* **4** *Ἀσσωπίῳ* diorth.[1] **7** *ἀθλο.* X diorth.[1] — *-νικία* BD Schol.: *-νεικία* V: *-νικεία* diorth.[1]: *-νικίας* diorth.[2] **8** *ἀρετάν* V diorth.[1] **9** *ἁμᾶς* B diorth.[1] **10** *οὐρανῷ* BD (cum Schol. Eurip.): *Οὐρανῷ* Aristarchus et Ammonius: *οὐρανῶ* diorth.[2]: *οὐρανώα* V diorth.[1]: *οὐρανοῦ* Böckh — *-φελᾳ* Ald.: *-φέλα*

δόκιμον ὕμνον· ἐγὼ δὲ κείνων τέ νιν ὀάροις
λύρᾳ τε κοινάσομαι. χαρίεντα δ' ἕξει πόνον
χώρας ἄγαλμα, Μυρμιδόνες ἵνα πρότεροι
ᾤκησαν, ὧν παλαίφατον ἀγορὰν
οὐκ ἐλεγχέεσσιν Ἀριστοκλείδας τεὰν
ἐμίανε κατ' αἶσαν ἐν περισθενεῖ μαλαχθεὶς

Ἐπ. α'.

παγκρατίου στόλῳ· καματωδέων δὲ πλαγᾶν
ἄκος ὑγιηρὸν ἐν βαθυπεδίῳ Νεμέᾳ | τὸ καλλίνικον φέρει.
εἰ δ' ἐὼν καλὸς ἔρδων τ' ἐοικότα μορφᾷ
ἀνορέαις ὑπερτάταις ἐπέβα παῖς Ἀριστοφάνεος· οὐκέτι πρόσω
ἀβάταν ἅλα κιόνων ὑπὲρ Ἡρακλέος περᾶν εὐμαρές,

Στρ. β'.

ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας ἐσχάτας
μάρτυρας κλυτᾶς· δάμασε δὲ θῆρας ἐν πελάγεϊ
ὑπερόχους, ἰδίᾳ τ' ἐρεύνασε τεναγέων
ῥοάς, ὅπᾳ πόμπιμον κατέβαινε νόστου τέλος,
καὶ γᾶν φράδασσε. θυμέ, τίνα πρὸς ἀλλοδαπὰν
ἄκραν ἐμὸν πλόον παραμείβεαι;
Αἰακῷ σε φαμὶ γένει τε Μοῖσαν φέρειν.
ἕπεται δὲ λόγῳ δίκας ἄωτος, ἐσλὸς αἰνεῖν·

Ἀντ. β'.

οὐδ' ἀλλοτρίων ἔρωτες ἀνδρὶ φέρειν κρέσσονες.
οἴκοθεν μάτευε. ποτίφορον δὲ κόσμον ἔλαβες
γλυκύ τι γαρυέμεν. παλαιαῖσι δ' ἐν ἀρεταῖς
γέγαθε Πηλεὺς ἄναξ, ὑπέραλλον αἰχμὰν ταμών·

---

desunt A C E–U Γ–Ω

**11** *δὲ κείνων* Böckh: *δ' ἐκείνων* — *νιν* Mommsen: *μιν* **12** *κοινάσομαι* Böckh: *κοίν' ἀείσομαι* e Schol. Bergk: *κοινώσομαι* — *ἕξεις* Heyne **13** *Μυρμιδόνος* V diorth.[1] **15** *ἐλεγχέεσιν* BD — *τεὰν*] *τὰν* diorth.[2]: *ἐὰν* Pauw **18** *ἐν βαθυπέδῳ* X: *ἔν γε βαθυπέδῳ* diorth.[1] **19** *δ' ἐὼν* Heyne: *δὲ ὢν* diorth.: *δ' ὢν* — *ἔρδων* X: *ἕρδων* **20** *-νεος* Mommsen: *-νους* BD: *-νευς* V diorth. **23** *κλυτᾶς* B (lemma V) diorth.[2]: *κλυτὰς* DVX diorth.[1]: utrumque (lemma B) Schol. — *πελάγεϊ* (diorth.[1]): *πελάγεσιν* G. Hermann: *πελάγει* **24** *ὑπερόχους* diorth.[1]: *ὑπερόχως* diorth.[2]: *ὑπερόχος* G. Hermann: *ὑπέροχος* — *ἰδίᾳ τ' ἐρ.*] *διά τ' ἐρ.* v. l. apud Schol.?: *διά τ' ἐξερ.* Böckh: *διά τ' αὖτ' ἐρ.* G. Hermann **25** *ὅπᾳ* Mommsen: *ὅπα* **26** *φράδασσε* diorth.[1]: *φράδασε* (*φραίδασε*) **27** *-βεαι* Böckh: *-βῃ* **28** *φημὶ* DX diorth.[1] **29** *ἐσλὸς*] *ἐσλὸν* B: utrumque V **31** *ἔλαχες* unus Schol.?

P. 1.98.

heroes as object of worship first in Pind. = Demigod. between gods and men.

net; tails

ὃς καὶ Ἰωλκὸν εἷλε μόνος ἄνευ στρατιᾶς,
καὶ ποντίαν Θέτιν κατέμαρψεν
ἐγκονητί. Λαομέδοντα δ' εὐρυσθενὴς
Τελαμὼν Ἰόλᾳ παραστάτας ἐὼν ἔπερσεν·

Ἐπ. β'.

καί ποτε χαλκότοξον Ἀμαζόνων μετ' ἀλκὰν
ἕπετό οἱ· οὐδέ νίν ποτε φόβος ἀνδροδάμας | ἔπαυσεν ἀκμὰν φρενῶν.
συγγενεῖ δέ τις εὐδοξίᾳ μέγα βρίθει·
ὃς δὲ διδάκτ' ἔχει, ψεφηνὸς ἀνὴρ ἄλλοτ' ἄλλα πνέων οὔ ποτ' ἀτρεκέϊ
κατέβα ποδί, μυριᾶν δ' ἀρετᾶν ἀτελεῖ νόῳ γεύεται.

Στρ. γ'.

ξανθὸς δ' Ἀχιλεὺς τὰ μὲν μένων Φιλύρας ἐν δόμοις,
παῖς ἐὼν ἄθυρε μεγάλα ἔργα, χερσὶ θαμινὰ
βραχυσίδαρον ἄκοντα πάλλων, ἴσα τ' ἀνέμοις
μάχᾳ λεόντεσσιν ἀγροτέροις ἔπρασσεν φόνον,
κάπρους τ' ἔναιρε, σώματι δὲ παρὰ Κρονίδαν
Κένταυρον ἀσθμαίνοντι κόμιζεν,
ἑξέτης τὸ πρῶτον, ὅλον δ' ἔπειτ' ἂν χρόνον·
τὸν ἐθάμβεον Ἄρτεμίς τε καὶ θρασεῖ' Ἀθάνα,

Ἀντ. γ'.

κτείνοντ' ἐλάφους ἄνευ κυνῶν δολίων θ' ἑρκέων·
ποσσὶ γὰρ κράτεσκε. λεγόμενον δὲ τοῦτο προτέρων
ἔπος ἔχω· βαθυμῆτα Χείρων τράφε λιθίνῳ
Ἰάσον' ἔνδον τέγει, καὶ ἔπειτεν Ἀσκληπιόν,

---

desunt A C E–U Γ–Ω

**34** μόνος diorth.: μοῦνος **37** Ἰόλᾳ diorth.[2]: Ἰόλα **38** χαλκότοξον V diorth.[1]: χαλκοτόξων **39** νίν Mommsen: μίν — ἀκμὰν V diorth.[1]: ἀλκὰν **41** ψεφεννὸς ex Etym. M. Porson — ἀτρεκέϊ Er. Schmid: ἀτρεκεῖ **43** Ἀχιλεὺς Moreliana: Ἀχιλλεὺς **44** χ. θ. cum sqq. coni. V diorth.[1]: cum praecedentibus B: χερσὶ cum praec., θαμ. cum sqq. coni. diorth.[2] **45** sq. ἴσα τ' ἀνέμοις μ. G. Hermann: ἴσον ἀνέμοις· μ. Er. Schmid: ἴσον τ' ἀνέμοις μ. diorth.[2]: ἴσα τ' ἀνέμοισιν ἐν μ. (λέουσιν) diorth.[1]: ἰσόν τ' ἀνέμοισιν ἐν μ. **47** sq. σώματι . . . ἀσθμαίνοντι diorth.[2] (Schol.?): σώματα (σωμάτια B) . . . ἀσθμαίνοντα — παρὰ] πὰρ (lemma B) **48** ἀσθμαίνων ἐκόμ. e Schol. Hartung **49** ἔπειτ' ἂν] ἔπειτα diorth.[1] **50** ἐθάμβεον diorth.[1]: ἐθάμβεεν diorth.[2]: ἐθάμβευν **52** προτέρων X diorth.[1]: πρότερον D diorth.[2]: utrumque BV **53** βαθυδμῆτα B (D ante corr.) — τράφε D? diorth.[1]: τράφεν — λιθίνῳ D: λιθίνῳ γ' **54** ἔπειτεν V diorth.[2]: ἔπει. τὸν et ἔπι. τὸν B: ἔπειτ' ἐν diorth.[1] — Ἀσκλήπιον Böckh

τὸν φαρμάκων δίδαξε μαλακόχειρα ~~κομιδόν~~·
νύμφευσε δ' αὖτις ἀγλαόκαρπον
Νηρέος θύγατρα, γόνον τέ οἱ φέρτατον
ἀτίταλλεν ἐν ἀρμένοισι πάντα θυμὸν αὔξων·

*Ἐπ. γʹ.*

ὄφρα θαλασσίαις ἀνέμων ῥιπαῖσι πεμφθεὶς
ὑπὸ Τρῷϊαν δορίκτυπον ἀλαλὰν Λυκίων | τε προσμένοι καὶ Φρυγῶν
Δαρδάνων τε, καὶ ἐγχεσφόροις ἐπιμίξαις
Αἰθιόπεσσι χεῖρας, ἐν φρασὶ πάξαιθ', ὅπως σφίσι μὴ κοίρανος ὀπίσω
πάλιν οἴκαδ' ἀνεψιὸς ζαμενὴς Ἑλένοιο Μέμνων μόλοι.

*Στρ. δʹ.*

τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν αὐτόθεν·
Ζεῦ, τεὸν γὰρ αἷμα, σέο δ' ἀγών, τὸν ὕμνος ἔβαλεν
ὀπὶ νέων ἐπιχώριον χάρμα κελαδέων.
βοὰ δὲ νικαφόρῳ σὺν Ἀριστοκλείδᾳ πρέπει,
ὃς τάνδε νᾶσον εὐκλέϊ προσέθηκε λόγῳ
καὶ σεμνὸν ἀγλααῖσι μερίμναις
Πυθίου Θεάριον. ἐν δὲ πείρᾳ τέλος
διαφαίνεται, ὧν τις ἐξοχώτερος γένηται,

*Ἀντ. δʹ.*

ἐν παισὶ νέοισι παῖς, ἐν ἀνδράσιν ἀνήρ, τρίτον
ἐν παλαιτέροισι μέρος· ἕκαστον οἷον ἔχομεν
βρότεον ἔθνος. ἐλᾷ δὲ καὶ τέσσαρας ἀρετὰς
ὁ θνατὸς αἰών, φρονεῖν δ' ἐνέπει τὸ παρκείμενον.
τῶν οὐκ ἄπεστι. χαῖρε, φίλος. ἐγὼ τόδε τοι

desunt A C E–U Γ–Ω

**55** μαλακ. diorth.: μαλθακ. — νόμον V diorth.[1] **56** αὖτις Böckh: αὖθις — ἀγλαόκαρπον (B supra, D ante corr.) diorth.[2]: ἀγλαόκολπον B infra (V supra?): ἀγλαόκαρνον V infra X diorth.[1]: ἀγλαόκρανον D corr. **57** Νηρέως B **58** ἐν e Schol. Er. Schmid: γε diorth.[1]: omittunt reliqui **59** θαλασσίων diorth.[1] **60** Τρωΐαν V: Τροΐαν diorth.[1]: Τροίαν **61** ἐγχεσιφόροις B — -ξαις (lemma B) DV diorth.[2]: -ξας BXZ diorth.[1] **62** om. μὴ diorth.[2] — ὀπίσω D diorth.[1]: ὀπίσσω **67** βοᾷ (V ante corr.) unus Schol. — νικηφόρῳ D **68** εὐκλέϊ diorth.[1]: εὐκλεεῖ **72** ἐν ἀνδρ. G. Hermann: δ' ἀνδρ. V: ἐν δ' ἀνδρ. — τρίτον diorth.: τρίτος Bergk: τρίτατος B: τρίτατον **73** μέρος cum praecedentibus coni. diorth.[2]: cum sqq. DX diorth.[1] (Schol.?) **75** ὁ θνατὸς αἰών e Schol. (Aristarch.) Er. Schmid: θνατὸς ἐών B: μακρὸς αἰών DVXZ: μακρός τοι αἰών diorth.[1]: ὁ μακρὸς αἰών diorth.[2]

P. appear through, be proved, show itself

us in song: glorious

Ol. 2. 22.

πέμπω μεμιγμένον μέλι λευκῷ
σὺν γάλακτι, κιρναμένα δ' ἔερσ' ἀμφέπει
πόμ' ἀοίδιμον Αἰολῇσιν ἐν πνοαῖσιν αὐλῶν,

Ἐπ. δ'.

ὀψέ περ. ἔστι δ' αἰετὸς ὠκὺς ἐν ποτανοῖς,
ὃς ἔλαβεν αἶψα, τηλόθε μεταμαιόμενος, | δαφοινὸν ἄγραν ποσίν·
κραγέται δὲ κολοιοὶ ταπεινὰ νέμονται.
τίν γε μέν, εὐθρόνου Κλεϊοῦς ἐθελοίσας, ἀεθλοφόρου λήματος ἕνεκεν
Νεμέας Ἐπιδαυρόθεν τ' ἀπὸ καὶ Μεγάρων δέδορκεν φάος.

---

desunt A C E–U Γ–Ω

78 post ἀμφέπει virgulam invexit Böckh 79 Αἰολῇσιν Böckh: Αἰολῖσιν V diorth.[1]: Αἰολίσιν — πνοαῖς BD 80 πετανοῖς D diorth.[2] 81 τηλόθε diorth.[1]: τηλόθεν — δαφοινὰν X diorth.[1] 82 κράγεται BD — Κλειοῦς BD?: κλεὸς V?: κλέος X diorth.[2]: κλεοῦς diorth.[1] 84 ἀπὸ Mommsen: ἄπο

---

## NEMEONIKAI Δ'.

# ΤΙΜΑΣΑΡΧῼ ΑΙΓΙΝΗΤῌ

### ΠΑΙΔΙ ΠΑΛΑΙΣΤῌ.

⏒ –́ ⏒ –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏑ ⏓
⏒ –́ ⏒ –́ ⏑ ⏑ ⏓
– –́ ⏑ –́ ⏑ ⏑ – × ⏒ × ⏑ –́ ⏑ ⏑ ⏓
× ⏑ –́ ⏑ ⏑ – ⏑ × ⏑ –́ ⏑ ⏑ – ⏒
× ⏒ × ⏑ –́ ⏑ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏓
× ⏒ × ⏒ –́ ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏒
⏔ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏓
⏒ –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏒

Στρ. α'.

Ἄριστος εὐφροσύνα πόνων κεκριμένων
ἰατρός· αἱ δὲ σοφαὶ

Μοισᾶν θύγατρες ἀοιδαὶ θέλξαν νιν ἁπτόμεναι.
οὐδὲ θερμὸν ὕδωρ τόσον γε μαλθακὰ τεύχει
γυῖα, τόσσον εὐλογία φόρμιγγι συνάορος.
ῥῆμα δ' ἐργμάτων χρονιώτερον βιοτεύει,
ὅ τι κε σὺν Χαρίτων τύχᾳ
γλῶσσα φρενὸς ἐξέλοι βαθείας.

Στρ. β'.

τό μοι θέμεν Κρονίδᾳ τε Δ῾ι̇ῒ καὶ Νεμέᾳ
Τιμασάρχου τε πάλᾳ
ὕμνου προκώμιον εἴη· δέξαιτο δ' Αἰακιδᾶν
ἠΰπυργον ἕδος, δίκᾳ ξεναρκέϊ κοινὸν
φέγγος. εἰ δ' ἔτι ζαμενεῖ Τιμόκριτος ἀελίῳ
σὸς πατὴρ ἐθάλπετο, ποικίλον κιθαρίζων
θαμά κε, τῷδε μέλει κλιθείς,
ὕμνον κελάδησε καλλίνικον

Στρ. γ'.

Κλεωναίου τ' ἀπ' ἀγῶνος ὅρμον στεφάνων
πέμψαντα, καὶ λιπαρᾶν
εὐωνύμων ἀπ' Ἀθανᾶν, Θήβαις τ' ἐν ἑπταπύλοις,
οὕνεκ' Ἀμφιτρύωνος ἀγλαὸν παρὰ τύμβον
Καδμεῖοί νιν οὐκ ἀέκοντες ἄνθεσι μίγνυον,
Αἰγίνας ἕκατι. φίλοισι γὰρ φίλος ἐλθὼν
ξένιον ἄστυ κατέδρακεν
Ἡρακλέος ὀλβίαν πρὸς αὐλάν.

Στρ. δ'.

ξὺν ᾧ ποτε Τρωΐαν κραταιὸς Τελαμὼν
πόρθησε, καὶ Μέροπας,
καὶ τὸν μέγαν πολεμιστὰν ἔκπαγλον Ἀλκυονῆ,

---

desunt omnes praeter BDVXY diorth.² (retr.)

**3** *θύγατρες* Er. Schmid: *θυγατέρες* **4** *τόσσον* BD *τεύχει*] *τέγγει* apud Plutarchum? **6** *ἐργμ.*] *ἑργμ.* D **7** *κε*] *περ* (B supra) VXY **8** *ἐξέλῃ* Schol.? **9** *μοι*] *περ* (B supra) — *Διὶ* Ahlwardt: *Δὶ* Böckh: *Διῒ* **12** *ἠΰπυργον* Er. Schmid: *εὔπυργον* — *ξεναρκέϊ* diorth.²: *ξεναρκεῖ* **13** *δέ τι* diorth.² — *ἀελίῳ* Mommsen: *ἁλίῳ* **16** *ὕμνον*] *υἱὸν* Bergk **18** *πέμψαντα* BDV Schol.?: *πέμψαντος* XY diorth.² Schol.: *πέμψαντι* Pauw. **19** *Ἀθανᾶν* D diorth.²: *Ἀθηνᾶν* B: *Ἀθανῶν* VX **20** *οὕνεκ'* Rom.: *οὕνεκεν* BD: *οὕνεκεν* VX: *οὕνεκ'* diorth.² **23** *ξένιον* diorth.²: *ξείνιον* — *κατέδρακεν*] *κατέδραμεν* diorth.² **25** *σὺν* Böckh: *ξὺν* — *Τροΐαν* Moreliana — *κραταιὸς* Er. Schmid: *καρτερὸς*

very strong, mighty, raging

sc. νικῶντα Fem. by zeugma. assisted by καλλίνικον

where

οὐ τετραορίας γε πρὶν δυώδεκα πέτρῳ
ἥρωάς τ' ἐπεμβεβαῶτας ἱπποδάμους ἕλεν
δὶς τόσους. ἀπειρομάχας ἐών κε φανείη
λόγον ὁ μὴ ξυνιείς· ἐπεὶ
ῥέζοντά τι καὶ παθεῖν ἔοικεν.

Στρ. ε'.

τὰ μακρὰ δ' ἐξενέπειν ἐρύκει με τεθμὸς
ὧραί τ' ἐπειγόμεναι·
ἴυγγι δ' ἕλκομαι ἦτορ νεομηνίᾳ θιγέμεν.
ἔμπα, καίπερ ἔχει βαθεῖα ποντιὰς ἅλμα
μέσσον, ἀντίτειν' ἐπιβουλίᾳ· σφόδρα δόξομεν
δαΐων ὑπέρτεροι ἐν φάει καταβαίνειν·
φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων
γνώμαν κενεὰν σκότῳ κυλίνδει

Στρ. ς'.

χαμαιπετοῖσαν. ἐμοὶ δ' ὁποίαν ἀρετὰν
ἔδωκε πότμος ἄναξ,
εὖ οἶδ' ὅτι χρόνος ἕρπων πεπρωμέναν τελέσει.
ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ,
Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος πεφιλημένον
Οἰνώνᾳ τε καὶ Κύπρῳ, ἔνθα Τεῦκρος ἀπάρχει
ὁ Τελαμωνιάδας· ἀτὰρ
Αἴας Σαλαμῖν' ἔχει πατρῴαν·

Στρ. ζ'.

ἐν δ' Εὐξείνῳ πελάγει φαεννὰν Ἀχιλεὺς
νᾶσον· Θέτις δὲ κρατεῖ
Φθίᾳ· Νεοπτόλεμος δ' Ἀπείρῳ διαπρυσίᾳ,
βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται
Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον.
Παλίου δὲ πὰρ ποδὶ λατρεΐαν Ἰαωλκὸν

---

desunt omnes praeter BDVXY diorth.[2] (retr.)
**30** τόσους diorth.[2]: τόσσους — ἐάν κε diorth.[2] **31** συνιεὶς Böckh (unus diorth.[2]): ξυνιεὶς — ἐπηρεάζοντά τε apud Stobaeum **35** νουμηνίᾳ diorth.[2] **36** κεἴπερ Donaldson **37** δόξομεν diorth.[2]: δόξωμεν **42** ἔνδωκε? **46** ἀπάρχει] ὑπάρχει (lemma BD): ἄπ' ἄρχει Bergk **47** αὐτὰρ diorth.[2] **48** ἐν εὐξένῳ diorth.[2] — Ἀχιλλεὺς DVX **51** Ἀπείρῳ Moreliana: ἀπείρῳ **53** Δωδόναθεν ἐρχόμενοι diorth.[2] — Ἰώνιον B **54** λατρίαν Er. Schmid

πολεμίᾳ χερὶ προστραπὼν
Πηλεὺς παρέδωκεν Αἱμόνεσσιν,

Στρ. η'.

δάμαρτος Ἱππολύτας Ἀκάστου δολίαις
τέχναισι χρησάμενος.
τᾷ δαιδάλῳ δὲ μαχαίρᾳ φύτευέ οἱ θάνατον
ἐκ λόχου Πελίαο παῖς· ἄλαλκε δὲ Χείρων,
καὶ τὸ μόρσιμον Διόθεν πεπρωμένον ἔκφερεν·
πῦρ δὲ παγκρατὲς θρασυμαχάνων τε λεόντων
ὄνυχας ὀξυτάτους ἀκμάν
τε δεινοτάτων σχάσαις ὀδόντων

Στρ. θ'.

ἔγαμεν ὑψιθρόνων μίαν Νηρεΐδων,
εἶδεν δ' εὔκυκλον ἕδραν,
τᾶς οὐρανοῦ βασιλῆες πόντου τ' ἐφεζόμενοι
δῶρα καὶ κράτος ἐξέφαναν ἐς γένος αὐτῷ.
Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν. ἀπότρεπε
αὖτις Εὐρώπαν ποτὶ χέρσον ἔντεα ναός·
ἄπορα γὰρ λόγον Αἰακοῦ
παίδων τὸν ἅπαντά μοι διελθεῖν.

Στρ. ι'.

Θεανδρίδαισι δ' ἀεξιγυίων ἀέθλων
κάρυξ ἑτοῖμος ἔβαν
Οὐλυμπίᾳ τε καὶ Ἰσθμοῖ Νεμέᾳ τε συνθέμενος,
ἔνθα πεῖραν ἔχοντες οἴκαδε κλυτοκάρπων
οὐ νέοντ' ἄνευ στεφάνων, πάτραν ἵν' ἀκούομεν,
Τιμάσαρχε, τεὰν ἐπινικίοισιν ἀοιδαῖς
πρόπολον ἔμμεναι. εἰ δέ τοι
μάτρῳ μ' ἔτι Καλλικλεῖ κελεύεις

---

desunt omnes praeter BDVXY diorth.² (retr.)
(inde a vs. 69 etiam VXY desunt)

**55** χερὶ diorth.²: χειρὶ **56** Αἱμόνεσι B **58** χρησάμενος] χωσάμενος v. l. apud diorth.² **59** δαιδάλῳ Didymus: Δαιδάλου — φύτευέν οἱ retr. **62** θρασυμαχάνων G. Hermann: θρασέων μάχαν Ahlwardt: θρασυμαχάνους Schol.?: θρασυμάχανον (et καὶ pro τε vs. 64)?: θρασεομαχᾶν diorth.²: θρασυμαχᾶν **68** ἐς γένος (retr. supra) Ursinus: ἐγγενὲς Rittershausen: ἐς γένας diorth.²: ἐς γενεὰς — ἐς γενεάν οἱ Böckh **70** Εὐρώπαν (Schol.) Moreliana: εὐρώπην D: εὐρωπὰν Bergk: εὐρώπαν **74** ἑτοῖμος Böckh: ἕτοιμος **75** Οὐλ. Er. Schmid: Ὀλ. **77** νέοντ'] νέον γ' diorth.² — ἵν' G. Hermann: νιν (etiam Schol.) **80** μάτρῳ Heyne: μάτρω (lemma D): μάτρωϊ

'their malicious enemies' F.

Στρ. ια'.

στάλαν θέμεν Παρίου λίθου λευκοτέραν·
ὁ χρυσὸς ἑψόμενος
αὐγὰς ἔδειξεν ἁπάσας, ὕμνος δὲ τῶν ἀγαθῶν
ἐργμάτων βασιλεῦσιν ἰσοδαίμονα τεύχει
φῶτα· κεῖνος ἀμφ' Ἀχέροντι ναιετάων ἐμὰν
γλῶσσαν εὑρέτω κελαδῆτιν, Ὀρσοτριαίνα
ἵν' ἐν ἀγῶνι βαρυκτύπου
θάλησε Κορινθίοις σελίνοις·

Στρ. ιβ'.

τὸν Εὐφάνης ἐθέλων γεραιὸς προπάτωρ
ἀείσεται, παῖ, ὁ σός.
ἄλλοισι δ' ἅλικες ἄλλοι· τὰ δ' αὐτὸς ἂν τις ἴδῃ,
ἔλπεταί τις ἕκαστος ἐξοχώτατα φάσθαι.
οἷον αἰνέων κε Μελησίαν ἔριδας στρέφοι,
ῥήματα πλέκων, ἀπάλαιστος ἐν λόγῳ ἕλκειν,
μαλακὰ μὲν φρονέων ἐσλοῖς,
τραχὺς δὲ παλιγκότοις ἔφεδρος.

---

desunt omnes praeter BD diorth.[2] (retr.)

**82** ὁ χρυσὸς] χρυσὸς μὲν Rauchenstein **84** ἐργμ.] ἑργμ. D retr. **86** Ὀρσοτριαίνα Ceporinus: Ὀρσότριαινα **88** -θίοις diorth.[2]: -θίοισι **90** ἀείσεται, παῖ, ὁ σός. Mommsen: σὸς ἄεισέν ποτε, παῖ. (G. Hermann) Böckh: ὁ σὸς ἀείσεται, παῖ **91** ἂν τις ἴδῃ e Schol. G. Hermann: ἄντα τύχῃ Mingarelli: ἄν τις τύχῃ **92** φάσθαι Ald.: φᾶσθαι **93** οἷον D (Didymus): οἶον diorth.[2] (Aristarchus): utrumque B — ἔριδας Aristarchus et Didymus (Schol. diorth.[2]): ἔριδα (etiam paraphr. Schol.) — στρέφοιν Bergk **94** ἐν] ὃν G. Hermann — ἕλκει B corr. (Ald.) **95** μαλακὰ Er. Schmid.: μαλθακὰ

---

## NEMEONIKAI E'.

# ΠΥΘΕᾼ ΑΙΓΙΝΗΤῌ

### ΠΑΙΔΙ ΠΑΓΚΡΑΤΙΑΣΤῌ.

Strophae.

– –́ ⏑ – ⏓ –́ ⏑ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – ⏓

–́ ⏑ ⏓ – –́ ⏑ – – –́ ⏒ ⏓
– –́ ⏑ – – –́ ⏑ ⏕ – –́ ⏑ ⏓
– –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
– –́ ⏑ ⏕ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒

### Epodi.

⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒ –́ ⏑ –
– –́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒

Στρ. α'.

*Οὐκ ἀνδριαντοποιός εἰμ', ὥστ' ἐλινύσοντα ἐργάζεσθαι*
*ἀγάλματ' ἐπ' αὐτᾶς βαθμίδος*
*ἑσταότ'· ἀλλ' ἐπὶ πάσας ὁλκάδος ἔν τ' ἀκάτῳ, γλυκεῖ'*
*ἀοιδά,*
*στεῖχ' ἀπ' Αἰγίνας, διαγγέλλοισ', ὅτι*
*Λάμπωνος υἱὸς Πυθέας εὐρυσθενὴς*
*νίκη Νεμείοις παγκρατίου στέφανον,*
*οὔπω γένυσι φαίνων τέρειναν ματέρ' οἰνάνθας ὀπώραν,*

Ἀντ. α'.

*ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥρωας αἰχματὰς φυτευθέντας*
*καὶ ἀπὸ χρυσεᾶν Νηρηΐδων*
*Αἰακίδας ἐγέραιρεν ματρόπολίν τε, φίλαν ξένων ἄρουραν·*
*τάν ποτ' εὔανδρόν τε καὶ ναυσικλυτὰν*
*θέσσαντο πὰρ βωμὸν πατέρος Ἑλλανίου*
*στάντες, πίτναν τ' εἰς αἰθέρα χεῖρας ἁμᾶ*

---

desunt omnes praeter BD diorth.² (retr.)

1 *ἐλινύσοντα ἐργ.* Mommsen: *ἐλινύσοντά μ' ἐργ.* (Brubachiana) Er. Schmid: *ἐλινύσοντ' ἐργ.* B: *ἐλιννύσοντ' ἐργ.* (Schol. ad Isthm.): *ἐλινύσσοντ' ἐργ.* D: (*ὥστε*) *ἐλλινύσσοντ' ἐργ.* diorth.²: *ἐλλινύσοντ' ἐργ.* retr. 2 *πάσας* diorth.²: *πάσης* BD — om. *γλυκεῖ' ἀοιδά* retr. 3 *στοῖχ'* diorth.² — *ὅτι*] *ὅτοι* (diorth.² retr.) 5 *νίκη* Heyne: *νικῆ* et *νικῆ* (etiam Schol. et apud Eustathium) 6 *γένυς φαῖνεν* diorth.² — *τερείναν* B — *ματέρ'* diorth.²: *ματέρα* BD: *ματρὶ* Bergk — *οἰνάνθαν ὀπώρας* Pauw 7 *χρυσέᾶν* B: *χρυσεᾶν* D (Schol.): *χρυσέων* diorth.² — *Νηρηΐδων* diorth.²: *Νηρεΐδων* BD 8 *ἐγέραρει* Rom. — *ξένων* diorth.²: *ξείνων* BD 9 *ναυσικλυτὰν* Böckh: *ναυσὶ κλυτὰν* 10 *πατέρος*] *πατρός θ'* G. Hermann — *στάντες*] *πάντες* in Schol. corrupt. — *πίτναν τ'* BD: *πίτναντ'* diorth.² — *εἰς* Er. Schmid: *ἐς*

ὡς was winner of 3rd imperf. ἐνίκησε

φιλόξενον

P.87.

Ἐνδαΐδος ἀριγνῶτες υἱοὶ καὶ βία Φώκου κρέοντος,

'Επ. α'.

ὁ τᾶς θεοῦ, ὃν Ψαμάθεια τίκτ' ἐπὶ ῥηγμῖνι πόντου.
αἰδέομαι μέγα εἰπεῖν ἐν δίκᾳ τε μὴ κεκινδυνευμένον,
πῶς δὴ λίπον εὐκλέα νᾶσον, καὶ τίς ἄνδρας ἀλκίμους
δαίμων ἀπ' Οἰνώνας ἔλασεν. στάσομαι. οὔ τοι ἅπασα κερδίων
φαίνοισα πρόσωπον ἀλάθει' ἀτρεκής·
καὶ τὸ σιγᾶν πολλάκις ἐστὶ σοφώτατον ἀνθρώπῳ νοῆσαι.

Στρ. β'.

εἰ δ' ὄλβον ἢ χειρῶν βίαν ἢ σιδαρίταν ἐπαινῆσαι πόλεμον δεδόκηται, μακρά μοι
αὐτόθεν ἅλμαθ' ὑποσκάπτοι τις· ἔχω γονάτων ἐλαφρὸν ὁρμάν·
καὶ πέραν πόντοιο πάλλοντ' αἰετοί.
πρόφρων δὲ καὶ κείνοις ἄειδ' ἐν Παλίῳ
Μοισᾶν ὁ κάλλιστος χορός, ἐν δὲ μέσαις
φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον χρυσέῳ πλάκτρῳ διώκων

Ἀντ. β'.

ἁγεῖτο παντοίων νόμων. αἱ δὲ πρώτιστον μὲν ὕμνησαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν
Πηλέα θ', ὥς τέ νιν ἁβρὰ Κρηθεῒς Ἱππολύτα δόλῳ πεδᾶσαι
ἤθελε, ξυνᾶνα Μαγνήτων σκοπὸν
πείσαισ' ἀκοίταν ποικίλοις βουλεύμασιν,
ψεύσταν δὲ ποιητὸν συνέπαξε λόγον,
ὡς ἄρα νυμφείας ἐπείρα κεῖνος ἐν λέκτροις Ἀκάστου

---

desunt omnes praeter BD diorth.[2] (retr.)

12 Ἐνδαΐδεος D: Ἐνδᾷδος (ἀριγ.) G. Hermann — ἀριγνῶτες Mommsen: ἀρίγνωτες 13 ὃν Er. Schmid: τὸν 14 τε μὴ] τ' οὐ μὴ G. Hermann: τι μὴ Hartung 16 ἀπ' Οἰνώνας] ἀποινώσας Ald. 19 χερῶν diorth.[2] — σιδαρίταν Heyne: σιδηρίταν — μοι αὐτ. BD: μοι δ' αὐτ. diorth.[2]: μοι δὴ αὐτ. Böckh: δὴ αὐτ. Thiersch 20 γονάτων diorth.[2]: γουνάτων BD — ἐλαφρὸν Er. Schmid: ἐλαφρὰν 22 καὶ κείνοις Böckh: κἀκείνοις — ἄειδ' ἐν Pauw: ἄειδεν Er. Schmid: ἀείδει 23 μέσαις Er. Schmid: μέσσαις B: μοίσσαις D: Μοίσαις diorth.[2] 25 ἁγ.] ἀγ. D — νόμων BD: νομῶν diorth.[2] 26 Κρηθεῒς Heyne: Κρηθηῒς — Ἱππολύτου Schol.? — πεδῆσαι retr. 27 ἤθελεν diorth.[2] — ξυνᾶνα D diorth.[2] (Eustath.): ξυνεῦνα B: ξυνῶνα retr. 28 πείσασ' (D corr.) — ποικίλοισιν diorth.[2] 29 συνέπαξε B: συνέπλασσε Schol.?: συνέπλεξε 30 ἄρα Böckh: ἄρα — Ἀκάστου B (retr.): Ἀκάστα D diorth.[2]

Ἐπ. β'.

εὐνᾶς· τὸ δ' ἐναντίον ἔσκεν· πολλὰ γάρ νιν παντὶ θυμῷ
παρφαμένα λιτάνευεν. τοῦ δὲ ὀργὰν κνίζον αἰπεινοὶ λόγοι·
εὐθὺς δ' ἀπανάνατο νύμφαν, ξεινίου πατρὸς χόλον
δείσαις· ὁ δ' εὖ φράσθη κατένευσέν τέ οἱ ὀρσινεφὴς ἐξ οὐρανοῦ
Ζεὺς ἀθανάτων βασιλεύς, ὥστ' ἐν τάχει
ποντίαν χρυσαλακάτων τινὰ Νηρεΐδων πράξειν ἄκοιτιν,

Στρ. γ'.

γαμβρὸν Ποσειδάωνα πείσαις, ὃς Αἰγᾶθεν ποτὶ κλειτὰν θαμὰ νίσεται Ἰσθμὸν Δωρίαν·
ἔνθα νιν εὔφρονες ἶλαι σὺν καλάμοιο βοᾷ θεὸν δέκονται,
καὶ σθένει γυίων ἐρίζοντι θρασεῖ.
πότμος δὲ κρίνει συγγενὴς ἔργων περὶ
πάντων. τὺ δ' Αἰγίνᾳ θεοῦ, Εὐθύμενες,
Νίκας ἐν ἀγκώνεσσι πίτνων ποικίλων ἔψαυσας ὕμνων.

Ἀντ. γ'.

ἤτοι μετ' αἴξαντα καὶ νῦν τεὸς μάτρως ἀγάλλει κείνου ὁμόσπορον ἔθνος Πυθέας.
ἁ Νεμέα μὲν ἄραρεν μείς τ' ἐπιχώριος, ὃν φίλησ' Ἀπόλλων·
ἅλικας δ' ἐλθόντας οἴκοι τ' ἐκράτει
Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ. χαίρω δ', ὅτι
ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις.
ἴσθι, γλυκεῖάν τοι Μενάνδρου σὺν τύχᾳ μόχθων ἀμοιβὰν

Ἐπ. γ'.

ἐπαύρεο. χρὴ δ' ἀπ' Ἀθανᾶν τέκτον' ἀεθληταῖσιν ἔμμεν.

---

desunt omnes praeter BD diorth.² (retr.)

**31** νιν Mommsen: μιν **32** τοῦ δὲ] τοῖο δ' G. Hermann: τοῦ μὲν Böckh: τοῦ δ' ἄρ' Rauchenstein **34** δείσας diorth.² — εὖ φράσθη] ἐφράσθη Ald. (Schol.?) **36** ποντιᾶν Heyne **37** πείσας (D corr.) — νίσσεται Rom. **38** νιν Mommsen: μιν — ἶλαι D: ἴλαι **40** συγγενὴς B: συγγενὲς — πέρι retr. **41** θεοῦ Er. Schmid: θεᾶς **42** πίτνων B: πιτνῶν D (retr.): πιτνὼν diorth.² **43** ἦτοι Heyne: ἤτοι — μετ' αἴξαντα (Ursinus?) e Schol. Mommsen: μεταΐξας γε retr.: μεταΐξας, τὰ Kayser: μεταΐξας (diorth.²): μεταΐξαντα BD diorth.² — μάτρως σ' ἀγ. Bergk — ἔθνος, Πυθέα. (unus Schol.?) Mingarelli **44** ἁ] ᾧ Bergk: τῷ Rauchenstein — ἄρηρεν diorth.² — φίλασ' Böckh — **45** τ' ἐκράτει Beck: τ' ἐκράτεις Kayser: τε κράτει B: τε κρατεῖ D diorth.² (Schol.) **47** πέρι retr.: περι D: περὶ **48** γλυκειᾶν B — ἀμοιβᾶν D **49** Ἀθανᾶν BD: Ἀθανῶν (lemma D) diorth.² — ἀθλ. diorth.² — ἔμμεν diorth.²: ἔμεν BD (retr.)

εἰ δὲ Θεμίστιον ἵκεις, ὥστ' ἀείδειν, μηκέτι ῥίγει· δίδοι
φωνάν, ἀνὰ δ' ἱστία τεῖνον πρὸς ζυγὸν καρχασίου,
πύκταν τέ νιν καὶ παγκρατίῳ φθέγξαι ἑλεῖν Ἐπιδαύρῳ διπλόαν
νικῶντ' ἀρετάν, προθύροισιν δ' Αἰακοῦ
ἀνθέων ποιάεντα φέρειν στεφανώματα σὺν ξανθαῖς Χάρισσιν.

---

desunt omnes praeter BD diorth.[2] (retr.)

**50** Θεμίστειον retr. — δίδοι G. Hermann: δίδου **52** πύκταν B: πύκτα — παγκρατίῳ B: παγκρατίου — διπλόαν D diorth.[2] (Schol. B): τριπλόαν B **54** ἀνθέων G. Hermann: ἄνθεα — ποιᾶντα G. Hermann — Χάρισσιν Er. Schmid: Χάρισιν

---

## NEMEONIKAI ϛʹ.

# ΑΛΚΙΜΙΔῌ ΑΙΓΙΝΗΤῌ

### ΠΑΙΔΙ ΠΑΛΑΙΣΤῌ.

---

**Strophae.**

⏑ –́ – | × ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏕́ ⏑ ⏓
× ⏑ –́ ⏑ ⏑ – ⏑ – × ⏓ × ⏑ –́ ⏑ ⏑ ⏓
⏕ ⏑ –́ ⏑ ⏑ – ⏕ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏕́ ⏑ – ⏓ | –́ ⏑ ⏓
⏑ ⏑ –́ –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏕́ ⏑ – ⏒ | –́ ⏑ – ⏒
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏓

**Epodi.**

–́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏕́ ⏑ –
–́ ⏑ ⏑ ⏖ ⏑ – ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏕́ ⏑ – ⏑ ⏓
– –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ –
⏕ –́ ⏑ – | ⏑ –́ ⏑ – –
⏕ – –́ ⏑ ⏑ – ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ ⏒ ⏑ ⏑ ⏓

Στρ. αʹ.

Ἓν ἀνδρῶν, | ἓν θεῶν γένος· ἐκ μιᾶς δὲ πνέομεν
ματρὸς ἀμφότεροι· διείργει δὲ πᾶσα κεκριμένα
δύναμις, ὡς τὸ μὲν οὐδέν, ὁ δὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος
μένει οὐρανός. ἀλλά τι προσφέρομεν ἔμπαν | ἢ μέγαν
νόον ἤτοι φύσιν ἀθανάτοις,
καίπερ ἐφαμερίαν οὐκ εἰδότες οὐδὲ μετὰ νύκτας | ἄμμε πότμος
οἵαν τιν᾽ ἔγραψε δραμεῖν ποτὶ στάθμαν.

Ἀντ. αʹ.

τεκμαίρει | καί νυν Ἀλκιμίδας τὸ συγγενὲς ἰδεῖν
ἄγχι καρποφόροις ἀρούραισιν, αἵτ᾽ ἀμειβόμεναι
τόκα μὲν ὦν βίον ἀνδράσιν ἐπηετανὸν ἐκ πεδίων ἔδοσαν,
τόκα δ᾽ αὖτ᾽ ἀναπαυσάμεναι σθένος ἔμαρψαν. | ἦλθέ τοι
Νεμέας ἐξ ἐρατῶν ἀέθλων
παῖς ἐναγώνιος, ὃς ταύταν μεθέπων Διόθεν αἶσαν | νῦν πέφανται
οὐκ ἄμμορος ἀμφὶ πάλᾳ κυναγέτας,

Ἐπ. αʹ.

ἴχνεσιν ἐν Πραξιδάμαντος ἑὸν πόδα νέμων
πατροπάτορος ὁμαιμίου.
κεῖνος γὰρ Ὀλυμπιόνικος ἐὼν Αἰακίδαις
ἔρνεα πρῶτος [ἐπεὶ δράπεν] ἀπ᾽ Ἀλφεοῦ,
καὶ πεντάκις Ἰσθμοῖ στεφανωσάμενος,
Νεμέᾳ δὲ τρεῖς, | ἔπαυσε λάθαν
Σωκλείδᾱ, ὃς ὑπέρτατος
Ἁγησιμάχῳ υἱέων γένετο.

desunt omnes praeter BD diorth.[2]

**3** αἰὲν G. Hermann: αἰεὶ **4** ἔμπας diorth.[2] — ἔμπαν φυὰν ἢ μέγαν νόον θνατοῖς apud Schol. Eurip. **6** ἄμμι Schneidewin **7** οἵαν τιν᾽ G. Hermann: αἰῶν᾽ τίν᾽ Schol.? (inedit.): πρὸς ἄντιν᾽ (et ποτὲ) Bergk: ἄντιν᾽ **8** καί νυν Er. Schmid: δέ νυν diorth.[2]: δὲ καὶ νῦν BD **10** ἀνδράσιν G. Hermann: ἄνδρεσσιν — om. ἐκ diorth.[2] **13** πέφανται G. Hermann: πέφαντ᾽ **14** ἄμμορος B: ἄμοιρος D diorth.[2] **16** ὁμαιχμίου G. Hermann **18** πρῶτος ἐπεὶ δράπεν ἀπ᾽ Ἀλφεοῦ vel πρῶτος ἀπ᾽ Ἀλφεοῦ ἀποδραπὼν Mommsen: πρῶτος ἐλαίας ἀπ᾽ Ἀλφεοῦ Böckh: πρῶτος ἀπ᾽ Ἀλφεοῦ — Ἀλφειοῦ B ante corr. **19** Ἰσθμοῖ diorth.[2]: Ἰσθμοῖ ω D: Ἰσθμῷ B **20** τρεῖς G. Hermann: τρίς **21** Σωκλείδᾳ diorth.[2] **22** υἱέων γένετο diorth.[2]: υἱῶν ἐγένετο BD

at a festal procession : = ἐγκώμι· a processes

Στρ. β'.

*ἐπεί οἱ | τρεῖς ἀεθλοφόροι πρὸς ἄκρον ἀρετᾶς*
*ἦλθον, οἵτε πόνων ἐγεύσαντο. σὺν θεοῦ δὲ τύχᾳ*
*ἕτερον οὔ τινα οἶκον ἀπεφάνατο πυγμαχία πλεόνων*
*ταμίαν στεφάνων μυχῷ Ἑλλάδος ἁπάσας. | ἔλπομαι*
*μέγα εἰπὼν σκοποῦ ἄντα τυχεῖν*
*ὧτ' ἀπὸ τόξου ἱείς· εὔθυν' ἐπὶ τοῦτον ἐπέων, ὦ | Μοῖσ', ἄγ', οὖρον*
*εὐκλεῖα. παροιχομένων γὰρ ἀνέρων*

Ἀντ. β'.

*ἀοιδοὶ | καὶ λόγοι τὰ καλά σφιν ἔργ' ἐκόμισαν,*
*Βασσίδαισιν ἅ τ' οὐ σπανίζει· παλαίφατος γενεά,*
*ἴδια ναυστολέοντες ἐπικώμια, Πιερίδων ἀρόταις*
*δυνατοὶ παρέχειν πολὺν ὕμνον ἀγερώχων | ἐργμάτων*
*ἕνεκεν. καὶ γὰρ ἐν ἀγαθέᾳ*
*χεῖρας ἱμάντι δεθεὶς Πυθῶνι κράτησεν ἀπὸ ταύτας | αἷμα πάτρας*
*χρυσαλακάτου ποτὲ Καλλίας ἁδὼν*

Ἐπ. β'.

*ἔρνεσι Λατοῦς, παρὰ Κασταλίᾳ τε Χαρίτων*
*ἑσπέριος ὁμάδῳ φλέγεν·*
*πόντου τε γέφυρ' ἀκάμαντος ἐν ἀμφικτιόνων*
*ταυροφόνῳ τριετηρίδι Κρεοντίδαν*
*τίμασε Ποσειδάνιον ἂν τέμενος·*
*βοτάνα τέ νιν | ποθ' ἁ λέοντος*
*νικάσαντ' ἔχε δασκίοις*

---

desunt omnes praeter BD diorth.[2] (33—44 exstant etiam in V)
**23** *ἐπεὶ οἱ* D **25** *πλεόνων* e Schol. Er. Schmid: omittunt libri **26** *μυχῷ δ' Ἑλλάδος* diorth.[2] **27** *σκοποῦ ἄντα τυχεῖν* Mingarelli: *τυχεῖν ἄντα σκοποῦ* diorth.[2]: *ἄντα σκοποῦ τυχεῖν* (lemma B) D: *ἄντα σκοποῦ τετυχεῖν* B **28** *ᾧτ'* diorth.[2]: *ᾧ τ'* D: *ὥ τ'* (*ὧτ'*) B Schol. — *ἱεῖσ'* diorth.[2] — *εὔθυν'* e Schol. Er. Schmid: *εὐθὺν — ἐπέων, ὦ Μοῖσ', ἄγ', οὖρον εὐκλεῖα* Böckh: *ἄγε, Μοῖσα, οὖρον ἐπέων εὐκλέα* (diorth.[2] *Μοῖσ'*) **30** *ἀοιδαὶ* Pauw — *λόγοι* B? G. Hermann: *λόγιοι — ἔργ' ἐκόμισαν* diorth.[2]: *ἔργα ἐκόμιξαν* BD **31** *Βασσίδ.*] *Βασίδ.* D: *Βουθίδ.* Didymus **33** *παρέχει* V **35** *ἱμάντι δεθεὶς* diorth.[2]: *ἱμαντωθεὶς* BDV **36** *-κάτου*] *-κάτα* diorth.[2] — *ἁδὼν* V: *ᾄδων* B: *ἁδῶν* D: *ἀδῶν* diorth.[2] **37** *Κασταλίαν* V **39** om. *τε* B — *-κτιόνων* BV: *κτυόνων* **40** om. *Κρεοντίδαν* diorth.[2] **41** *ἂν*] *ἃ* V **43** *ἔχε δασκίοις* Mommsen: *ἔρεφ' ἀσκίοις* Er. Schmid: *ἔρεψ' ἀσκίοις* diorth.[2]: *ἔρεψε δασκίοις* BDV: (*νικῶντ'*) *ἤρεφε δασκίοις* G. Hermann.

*Φλιοῦντος ὑπ' ὠγυγίοις ὄρεσιν.*

*Στρ. γ'.*

*πλατεῖαι | πάντοθεν λογίοισιν ἐντὶ πρόσοδοι*
*νᾶσον εὐκλέα τάνδε κοσμεῖν· ἐπεί σφιν Αἰακίδαι*
*ἔπορον ἔξοχον αἶσαν ἀρετὰς ἀποδεικνύμενοι μεγάλας.*
*πέταται δ' ἐπί τε χθόνα καὶ διὰ θαλάσσας | τηλόθεν*
*ὄνυμ' αὐτῶν· καὶ ἐς Αἰθίοπας*
*Μέμνονος οὐκ ἀπονοστήσαντος ἐπᾶλτο· βαρὺ δέ σφι | νεῖ-*
*κος ἔμπας*
*καββὰς Ἀχιλεὺς ἐπέδειξ' ἀφ' ἁρμάτων,*

*Ἀντ. γ'.*

*φαεννᾶς | υἱὸν εὖτ' ἐνάριξεν Ἀόος ἀκμᾷ*
*ἔγχεος ζακότοιο. καὶ ταύταν μὲν παλαιότεροι*
*ὁδὸν ἀμαξιτὸν εὗρον· ἕπομαι δὲ καὶ αὐτὸς ἔχων μελέταν·*
*τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον αἰεὶ | κυμάτων*
*λέγεται παντὶ μάλιστα δονεῖν*
*θυμόν. ἑκόντι δ' ἐγὼ νώτῳ μεθέπων δίδυμον ἄχθος | ἄγ-*
*γελος βᾶν,*
*πέμπτον γ' ἐπὶ εἴκοσι τοῦτο γαρύων*

*Ἐπ. γ'.*

*εὖχος ἀγώνων ἄπο, τοὺς ἐνέποισιν ἱερούς,*
*Ἀλκιμίδᾳ τό γ' ἐπάρκεσεν*
*κλειτᾷ γενεᾷ· δύο μὲν Κρονίου πὰρ τεμένει,*
*παῖ, σέ τ' ἐνόσφισε καὶ σέ, Πολυτιμίδα,*
*κλᾶρος προπετὴς ἄνθε' Ὀλυμπιάδος.*

---

desunt omnes praeter BD diorth.[2]

**46** *σφιν* diorth.[2]: *σφισιν* BD **48** *τηλόθεν γ'* diorth.[2] **49** *ὄνυμ'* Beck: *ὄνομ'* **50** *οὐκ ἀπ.* diorth.[2]: *οὐκ ἂν ἀπ.* — *-νοστήσαντος* Ahrens: *-νοστάσαντος* — *ἔπαλτο* v. l. apud Schol. **50** sq. *σφι νεῖκος ἔμπας καββὰς Ἀχιλεὺς ἐπέδειξ' ἀφ' ἁ.* duce Schol. Mommsen: *σφιν νεῖκος ἔμπεσ' Ἀχιλεὺς χαμαὶ καββὰς ἀφ' ἁ.* (*καμβὰς* B *Ἀχιλλεὺς* D diorth.[2]) **52** *ἐνάριζεν* B? — *Ἀόος* Er. Schmid: *Ἀοῦς* — *ἀκμᾷ* e Schol. Er. Schmid: *αἰχμᾷ* **55** *αἰεὶ* diorth.[2]: *ἀεὶ* BD **56** *παντὶ* diorth.[2]: om. B: *παντιὸς* D **57** *βᾶν* G. Hermann: *ἔβαν* **58** *γ' ἐπὶ* G. Hermann: *ἐπ'* diorth.[2]: *ἐπὶ* BD **60** sq. *Ἀλκιμίδᾳ τό γ' ἐπ. κλειτᾷ γενεᾷ* Ahlwardt: *Ἀλκιμίδα ὅ γ' ἐπ. κλειτὰ γενεά* Er. Schmid: *Ἀλκιμίδας τό γ' ἐπ. κλειτᾷ γενεᾷ* **62** *παῖ, σέ τ' ἐνόσφισε καὶ σέ, Πολυτιμίδα* duce Schol. (fere cum G. Hermann) Mommsen: *παῖ, σέ τ' ἐνόσφισε Τιμίδαν* diorth.[2]: *παῖσ ἔτ' ἐνόσφισε καὶ Πολυτιμίδα* D: *παῖ σέ τ' ἐνόσφισε καὶ Πολυτιμίδαν* B (id. Böckh, sed *Πουλυτ.*)

δελφῖνί κεν | τάχος δι' ἅλμας
ἴσον εἴποιμι Μελησίαν,
χειρῶν τε καὶ ἰσχύος ἁνίοχον.

desunt omnes praeter BD diorth.[2]
**64** δι'] δ' B **65** ἴσον εἴπ. diorth.[2]: ἶσον εἴπ. BD: εἰκάζοιμι e Schol. Bergk **66** χειρῶν B: χερῶν

## NEMEONIKAI Z'.

# ΣΩΓΕΝΕΙ ΑΙΓΙΝΗΤΗι

### ΠΑΙΔΙ ΠΕΝΤΑΘΛΩι.

Strophae.



Epodi.



Στρ. α'.

Ἐλείθυια, πάρεδρε Μοιρᾶν βαθυφρόνων,
παῖ μεγαλοσθενέος, ἄκουσον, Ἥρας, γενέτειρα τέκνων·
ἄνευ σέθεν

desunt omnes praeter BD diorth.[2] (retr.)
**1** Ἐλείθ. diorth.[2]: Εἰλείθ. BD — πάρεδρε B (lemma D): πάρεδρος D diorth.[2] — Μοισᾶν (lemma B)

οὐ φάος, οὐ μέλαιναν δρακέντες εὐφρόναν
τεὰν ἀδελφεὰν ἐλάχομεν ἀγλαόγυιον Ἥβαν.
ἀναπνέομεν δ᾽ οὐχ ἅπαντες ἐπὶ ἴσα·
εἴργει δὲ πότμῳ ζυγένϑ᾽ ἕτερον ἕτερα. σὺν δὲ τὶν
καὶ παῖς ὁ Θεαρίωνος ἀρετᾷ κριϑεὶς
εὔδοξος ἀείδεται Σωγένης μετὰ πενταέϑλοις.

Ἀντ. αʹ.

πόλιν γὰρ φιλόμολπον οἰκεῖ δορικτύπων
Αἰακιδᾶν· μάλα δ᾽ ἐϑέλοντι σύμπειρον ἀγωνίᾳ ϑυμὸν
ἀμφέπειν.
εἰ δὲ τύχῃ τις ἔρδων, μελίφρον᾽ αἰτίαν
ῥοαῖσι Μοισᾶν ἐνέβαλεν· αἱ μεγάλαι γὰρ ἀλκαὶ
σκότον πολὺν ὕμνων ἔχοντι δεόμεναι·
ἔργοις δὲ καλοῖς ἔσοπτρον ἴσαμεν ἑνὶ σὺν τρόπῳ,
εἰ Μναμοσύνας ἕκατι λιπαράμπυκος
εὕρηται ἄποινα μόχϑων κλυταῖς ἐπέων ἀοιδαῖς.

Ἐπ. αʹ.

σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον
ἔμαϑον, οὐδ᾽ ὑπὸ κέρδει βλάβεν·
ἀφνεὸς πενιχρός τε ϑανάτου πέρας
ἅμα νέονται. ἐγὼ δὲ πλέον᾽ ἔλπομαι
λόγον Ὀδυσσέος ἢ πάϑαν διὰ τὸν ἁδυεπῆ γενέσϑ᾽ Ὅ-
μηρον.

Στρ. βʹ.

ἐπεὶ ψεύδεσί οἱ ποτανᾷ τε μαχανᾷ

---

desunt omnes praeter BD diorth.[2] (retr.)

**4** ἀδελφεὰν ἐλάχομεν D: ἀδελφεὰν λάχομεν diorth.[2]: ἐλάχομεν ἀδελφεὰν B **5** ἐπὶ diorth.[2]: ἐπ᾽ BD **6** πότμος D — ζυγένϑ᾽ Er. Schmid: ζυγοῖ ϑ᾽ Bergk (Schol.?): ζυγόνϑ᾽ **8** εὔδοξος B: ἔνδοξος — πενταέϑλοις diorth.[2]: πεντάϑλοις BD **9** δορικτύπων (B supra) diorth.[2]: δορυκτύπων Böckh: δορύκτυπον D: δορίκτυπον (B infra) **11** τύχᾳ Mommsen — ἔρδ. D retr.: ἕρδ. B diorth.[2] **12** ῥοαῖσι] πνοαῖσι Schol.? — ἐνέβαλεν· αἱ G. Hermann: ἐνέβαλε· ταὶ (Er. Schmid) Benedict: ἔβαλε. ταὶ BD: ἔβαλεν. ταὶ diorth.[2] **15** Μναμ. Böckh: Μνημ. **16** εὕρηται e Schol. G. Hermann: εὕρῃ τις Er. Schmid: εὕρηταί τις **18** βλάβεν B Schol.: λάβεν D: βάλον diorth.[2] **19** ἀφνεὸς πενιχρός τε diorth.[2]: ἀφνεός τε πενιχρός τε BD — ϑανάτου πέρας ἅμα Wieseler: ϑάνατον πάρα ϑαμὰ G. Hermann: ϑανάτου παρὰ σᾶμα (retr. σῆμα) **20** πλέον᾽ Er. Schmid: πλέον **21** πάϑαν BD: πάϑεν diorth.[2] — ἁδ.] ἀδ. D **22** ψεύδεσί οἱ D: ψεύδεσσί οἱ B: ψευδέεσίν οἱ diorth.[2] — ποτ. τε μαχ. G. Hermann: ποτ. γε μαχ. Er. Schmid: ποτ. μαχ.

'glorifying' F.

winged. flying. soaring sc. poetry.

σεμνὸν ἔπεστί τι· σοφία δὲ κλέπτει παράγοισα μύθοις· τυφλὸν δ' ἔχει
ἦτορ ὅμιλος ἀνδρῶν ὁ πλεῖστος. εἰ γὰρ ἦν
ἓ τὰν ἀλάθειαν ἰδέμεν, οὔ κεν ὅπλων χολωθεὶς
ὁ καρτερὸς Αἴας ἔπαξε διὰ φρενῶν
λευρὸν ξίφος· ὃν κράτιστον Ἀχιλέος ἄτερ μάχᾳ
ξανθῷ Μενέλᾳ δάμαρτα κομίσαι θοαῖς
ἂν ναυσὶ πόρευσαν εὐθυπνόου Ζεφύροιο πομπαὶ

Ἀντ. β'.

πρὸς Ἴλου πόλιν. ἀλλὰ κοινὸν γὰρ ἔρχεται
κῦμ' Ἀΐδα, πέσε δ' ἀδόκητον ἐν καὶ δοκέοντα. τιμὰ δὲ γίνεται
ὧν θεὸς ἁβρὸν αὔξει λόγον τεθνακότων
βοαθόων, τοὶ παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου
μόλον χθονός· ἐν Πυθίοισι δὲ δαπέδοις
κεῖται, Πριάμου πόλιν Νεοπτόλεμος ἐπεὶ πράθεν·
τᾷ καὶ Δαναοὶ πόνησαν. ὁ δ' ἀποπλέων
Σκύρου μὲν ἅμαρτεν, ἵκοντο δ' εἰς Ἐφύραν πλανᾶται·

Ἐπ. β'.

Μολοσσίᾳ δ' ἐμβασίλευεν ὀλίγον
χρόνον· ἀτὰρ γένος αἰεὶ φέρεν
τοῦτό οἱ γέρας. ᾤχετο δὲ πρὸς θεόν,
κτέαν' ἄγων Τρωΐαθεν ἀκροθινίων·
ἵνα κρεῶν νιν ὑπὲρ μάχας ἔλασεν ἀντιτυχόντ' ἀνὴρ μαχαίρᾳ.

desunt omnes praeter BD diorth.$^{2}$ (retr.)

**25** ἓ τὰν Böckh: ἑὰν diorth.$^{2}$: ἐὰν retr.: utrumque BD (Schol.) — ἰδέμεν Er. Schmid: εἰδέμεν **26** ἔσπαξε D **27** Ἀχιλέος diorth.$^{2}$: Ἀχιλλέος retr.: Ἀχιλλέως BD **29** ἂν] ἐν diorth.$^{2}$: ἐν' retr. — εὐθυπνόου D diorth.$^{2}$: εὐθυπόρου B — πομπαὶ (marg. B) D diorth.$^{2}$: πνοαὶ B **31** Ἀΐδα, πέσε δ' Oxoniensis: Ἀΐδαο, πέσ' diorth.$^{2}$: Ἀΐδαο, πέσε δ' BD — ἐν] ἓν G. Hermann: — γίγνεται Böckh **32** αὔξῃ Schol.? **33** βοαθόον G. Hermann — post βοαθ. dist. BD: non dist. diorth.$^{2}$ (Didymus) — παρὰ e Schol. G. Hermann: γὰρ — **34** μόλον G. Hermann: μόλεν Er. Schmid: ἔμολεν B: ἔμολε D diorth.$^{2}$: et sing. (Didymus) et plur. apud Schol. — Πυθίοις diorth.$^{2}$ **35** Πριάμου D diorth.$^{2}$: Πριάμοιο B **36** τᾷ BD: τῇ diorth.$^{2}$: — πόνασαν Ahrens **37** Σκίρου diorth.$^{2}$ — ἅμαρτε, πλαγχθέντες δ' εἰς Ἐφ. ἵκοντο Böckh — Ἐφύραν Böckh: Ἔφυραν — πλανᾶται Mommsen: πλάνητες υ. πλανῆται Bergk: πλανέντες G. Hermann: πλαγχθέντες B (D corr.): πλαχθέντες (D ante corr.) diorth.$^{2}$ **38** ἐμβασ.] ἐν βασ. B **39** φέρει D **41** κτέαν' ἄγων B: κτέατ' ἀνάγων — Τροΐαθεν Er. Schmid — ἀκροθινίων BD: ἀκροθινίων τ' diorth.$^{2}$: ἀκροθινίων θ' retr. **42** ὕπερ Er. Schmid

Στρ. γ'.

βάρυνθεν δὲ περισσὰ Δελφοὶ ξεναγέται.
ἀλλὰ τὸ μόρσιμον ἀπέδωκεν· ἐχρῆν δέ τιν' ἔνδον ἄλσει παλαιτάτῳ
Αἰακιδᾶν κρεόντων τὸ λοιπὸν ἔμμεναι
θεοῦ παρ' εὐτειχέα δόμον, ἡρωΐαις δὲ πομπαῖς
θεμισκόπον οἰκεῖν ἐόντα πολυθύτοις
εὐώνυμον ἐς δίκαν. τρία ἔπεα διαρκέσει·
οὐ ψεῦδις ὁ μάρτυς ἔργμασιν ἐπιστατεῖ.
Αἴγινα, τεῶν Διός τ' ἐκγόνων θρασύ μοι τόδ' εἰπεῖν

Ἀντ. γ'.

φαενναῖς ἀρεταῖς ὁδὸν κυρίαν λόγων
οἴκοθεν· ἀλλὰ γὰρ ἀνάπαυσις ἐν παντὶ γλυκεῖα ἔργῳ· κόρον δ' ἔχει
καὶ μέλι καὶ τὰ τέρπν' ἄνθε' Ἀφροδίσια.
φυᾷ δ' ἕκαστος διαφέρομεν βιοτὰν λαχόντες,
ὁ μὲν τά, τὰ δ' ἄλλοι· τυχεῖν δ' ἕν' ἀδύνατον
εὐδαιμονίαν ἅπασαν ἀνελόμενον· οὐκ ἔχω
εἰπεῖν, τίνι τοῦτο Μοῖρα τέλος ἔμπεδον
ὤρεξε. Θεαρίων, τὶν δ' ἐοικότα καιρὸν ὄλβον

Ἐπ. γ'.

δίδωσι, τόλμαν τε καλῶν ἀρομένῳ
σύνεσιν οὐκ ἀποβλάπτει φρενῶν.
ξεῖνός εἰμι· σκοτεινὸν ἀπέχων ψόγον,
ὕδατος ὥτε ῥοὰς φίλον ἐς ἄνδρ' ἄγων
κλέος ἐτήτυμον αἰνέσω· ποτίφορος δ' ἀγαθοῖσι μισθὸς οὗτος.

Στρ. δ'.

ἐὼν δ' ἐγγὺς Ἀχαιὸς οὐ μέμψεταί μ' ἀνὴρ +
Ἰονίας ὑπὲρ ἁλὸς οἰκέων· ~~καὶ ξενίᾳ~~ πέποιθ'· ἔν τε δαμόταις

Disclaimer of N. disparagement.

desunt omnes praeter BD diorth.[2] retr.

**43** δὲ περισσὰ Er. Schmid: περισσὰ retr.: περισσὰ δὲ **47** θεμισκόπον Lobeck: θεμίσκοπον **48** εὐών. ἐς δίκ. cum sqq. coni. B diorth.[2] (Schol. Aristarch.) Ceporinus: cum antecedd. D (G. Hermann) **49** μάρτυς] μάντις B supra — ἔργμ. B **55** τά, τὰ δ'] τό, τὸ δ' B supra **57** μοίρα BD **59** ἀρομένῳ G. Hermann: ἐραμένῳ Bergk: ἀραμένῳ **60** σύνεσιν G. Hermann: σύνεσις **62** ὥτε D retr.: ᾧτε B: ὥτε diorth.[2] **65** καὶ ξενίᾳ Mommsen: προξενίᾳ G. Hermann: καὶ προξενίᾳ

+ conj. ἐὰν ᾖ. de meo H. Auden.

P. 1.98. sons of reproach

with cheeks, sides of brass

'strike up, begin to play, sing'

'and therewithal'

lily blossom having culled it from the dews of the sea'

λειριόεις like a lily. i.e. ἄνθεμον = ἄνθος.

1.8

shake, rouse 'make swirl round us'

ὄμματι δέρκομαι λαμπρόν, οὐχ ὑπερβλέπων,
βίαια πάντ᾽ ἐκ ποδὸς ἐρύσαις, ὁ δὲ λοιπὸς εὔφρων
ποτὶ χρόνος ἕρποι. μαθὼν δέ τις ἂν ἐρεῖ,
εἰ πὰρ μέλος ἔρχομαι ψάγιον ὄαρον ἐννέπων.
Εὐξενίδᾰ πάτραθε Σώγενες, ἀπομνύω
μὴ τέρμα προβὰς ἄκονθ᾽ ὥτε χαλκοπάραον ὄρσαι

Ἀντ. δ'.

θοὰν γλῶσσαν, ὃς ἐξέπεμψεν παλαισμάτων
αὐχένα καὶ σθένος ἀδίαντον, αἴθωνι πρὶν ἀελίῳ γυῖον ἐμπεσεῖν.
εἰ πόνος ἦν, τὸ τερπνὸν πλέον πεδέρχεται.
ἔα με· νικῶντί γε χάριν, εἴ τι πέραν ἀερθεὶς
ἀνέκραγον, οὐ τραχύς εἰμι καταθέμεν.
εἴρειν στεφάνους ἐλαφρόν· ἀναβάλεο· Μοῖσά τοι
κολλᾷ χρυσόν, ἔν τε λευκὸν ἐλέφανθ᾽ ἁμᾷ,
καὶ λείριον ἄνθεμον ποντίας ὑφελοῖσ᾽ ἐέρσας.

Ἐπ. δ'.

Διὸς δὲ μεμναμένος ἀμφὶ Νεμέᾳ
πολύφατον θρόον ὕμνων δόνει
ἡσυχᾷ. βασιλῆα δὲ θεῶν πρέπει
δάπεδον ἂν τόδε γαρυέμεν ἁμέρᾳ
ὀπί· λέγοντι γὰρ Αἰακόν νιν ὑπὸ ματροδόκοις γοναῖς φυτεῦσαι,

Στρ. ε'.

ἐμᾷ μὲν πολίαρχον εὐωνύμῳ πάτρᾳ,

---

desunt omnes praeter BD diorth.[2] (retr.)

**66** ὄμμασι diorth.[2] — ὑπερβλέπων e Schol. Mommsen: ὑπερβαλών Er. Schmid: ὑπερβάλλων **67** πάντα ἐκ BD **68** ἐρεῖ BD: ἐροῖ diorth.[2]: ἔροι retr. **69** ψαγιον B (D?): ψέγιον (D?) diorth.[2]: ψόγιον J. G. Schneider **70** Εὐξενιδᾶν apud Schol.? **71** ὥτε Böckh: ὥστε diorth.[2]: ὥσειτε D: ὡς εἴτε B **72** ἐξέπεμψεν Böckh: ἐξέπεμψε D diorth.[2]: ἐξέπεμψας B: utrumque apud Schol. **73** πρὶν BD: πρὸς diorth.[2] — ἀελίῳ Mommsen: ἀλίῳ (lemma D): ἁλίῳ **75** πέραν G. Hermann: περ ἂν **76** οὐ] οὐ γὰρ (lemma BD) **77** ἀναβάλεο diorth.[2]: ἀναβάλλεο BD — ἀναβ. a reliquis disiung. diorth.[2]: non disiung. BD **78** ἁμᾷ Mommsen: ἁμᾶ **81** πολυφάτων diorth.[3] — θρόον ὕμνων δόνει G. Hermann: δόνει ὕμνων θρόον Mingarelli: ὕμνων θρόον δόνει **82** ἡσυχᾷ Mommsen: ἁσυχῇ Heyne: ἁσυχᾶ G. Hermann: ἡσυχῆ — θεὸν (lemma D) Schol. **83** ἁμέρᾳ (Benedict) G. Hermann: aut θευμερᾶ aut θαμερᾶ B: θεμερᾶ D: θευμερᾶ (ᾷ) **84** νιν Böckh: μιν — -δόκοις diorth.[2]: -δόκοισι(ν) BD **85** ἐμᾷ] ἑᾷ G. Hermann

Ἡράκλεες, σέο δὲ προπρεῶνα μὲν ξεῖνον ἀδελφεόν τ'. εἰ δὲ γεύεται
ἀνδρὸς ἀνήρ τι, φαῖμέν κε γείτον' ἔμμεναι
νόῳ φιλήσαντ' ἀτενέϊ γείτονι χάρμα πάντων
ἐπάξιον· εἰ δ' αὐτὸ καὶ θεὸς ἀνέχοι,
ἐν τίν κ' ἐθέλοι, Γίγαντας ὃς ἐδάμασας, εὐτυχῶς
ναίειν πατρὶ Σωγένης ἀταλὸν ἀμφέπων
θυμὸν προγόνων ἐϋκτήμονα ζαθέαν ἀγυιάν·

Ἀντ. ε'.

ἐπεὶ τετράόροισιν ὧθ' ἁρμάτων ζυγοῖς
ἐν τεμένεσσι δόμον ἔχει τεοῖς, ἀμφοτέρας ἰὼν χειρός. ὦ μάκαρ,
τὶν δ' ἐπέοικεν Ἥρας πόσιν τε πειθέμεν
κόραν τε γλαυκώπιδα· δύνασαι δὲ βροτοῖσιν ἀλκὰν
ἀμαχανιᾶν δυσβάτων θαμὰ διδόμεν.
εἰ γάρ σφισιν ἐμπεδοσθενέα βίοτον ἁρμόσαις
ἥβᾳ λιπαρῷ τε γήραϊ διαπλέκοις
εὐδαίμον' ἐόντα, παίδων δὲ παῖδες ἔχοιεν αἰεὶ

Ἐπ. ε'.

γέρας τόπερ νῦν καὶ ἄρειον ὄπιθεν.
τὸ δ' ἐμὸν οὔ ποτε φάσει κέαρ
ἀτρόποισι Νεοπτόλεμον ἑλκύσαι
ἔπεσι· ταὐτὰ δὲ τρὶς τετράκι τ' ἀμπολεῖν
ἀπορία τελέθει, τέκνοισιν ἅτε μαψυλάκας, Διὸς Κόρινθος.

---

desunt omnes praeter BD diorth.[2] (retr.)

**86** *γεύεται* D diorth.[2] (Schol. Aristarchus): *δεύεται* Schol. (Didymus?): utrumque B **87** *ἀνήρ τι* (Aristarch.) G. Hermann: *ἀνήρ, τί* — *ἔμμεν* BD **88** *φιλήσαντ' ἀτενέϊ* G. Hermann: *φιλήσαντά γ' ἀτενεῖ*; diorth.[2]: *φιλήσαντ' ἀτενεῖ* BD **89** *ἀνέχοι* (Thiersch) et *ἀνέχει* retr.: *ἂν ἔχοι* **92** *ἐϋκτ.* diorth.[2]: *εὐκτ.* BD — *ἄγυιαν* BD **93** *ὧθ'* D: *ὧσθ'* B: *ᾧ θ'* diorth.[2]: *ὦ. θ'* retr.: *ὧθ'* Rom. **94** *τεμένεσι* BD — *χειρὸς* D: *χερὸς* **95** *Ἥρας* Bothe: *Ἥραν* **98** *σφισιν* diorth.[2]: *σφιν* BD **99** *γήραϊ* Er. Schmid: *γήρᾳ* **100** *εὐδαίμονα ἐόντα* diorth.[2] **101** *ὄπιθεν* Moreliana: *ὄπισθεν* **104** *ἔπεσι* D: *ἔπεσσι* diorth.[2]: *ἔπεσσιν* B — *ταὐτὰ* e Schol. (Er. Schmid) Böckh: *ταῦτα* — *τετράκι* Er. Schmid: *τετράκις* **105** *τέκνοισιν* cum antecc. coni. diorth.[2] — *μαψυλάκαις* J. G. Schneider (Schol.?) — *διοσκόρινθος* BD

interweave; finish the web of one's life cf. perte

## NEMEONIKAI H'.

# ΔΕΙΝΙΔΙ ΑΙΓΙΝΗΤΗι

### ΣΤΑΔΙΕΙ.

458-457 ~~B.C.~~ In Αἰάκειον.

### Strophae.

x ⏒ –́ ⏑ ⏑ – – –́ ⏑ – – | –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ ⏓
–́ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏑ ⏑ –́ ⏑ ⏑ – – –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ – ⏒ –́ ⏑ – –́ ⏑ – ⏒ –́ ⏑ – ⏒

### Epodi.

– –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏑ ⏑ –́ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ – ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ Perhaps allusion to envy of ...
–́ ⏑ – – –́ ⏑ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓

Στρ. α'.

῞Ωρα πότνια, κάρυξ Ἀφροδίτας | ἀμβροσιᾶν φιλοτάτων,
ἅτε παρθενηΐοις παίδων τ' ἐφίζοισα γλεφάροις,
τὸν μὲν ἁμέροις ἀνάγκας χερσὶ βαστάζεις, ἕτερον δ' ἑτέ-
ραις.
ἀγαπατὰ δὲ καιροῦ μὴ πλαναθέντα πρὸς ἔργον ἕκαστον
τῶν ἀρειόνων ἐρώτων ἐπικρατεῖν δύνασθαι.

Ἀντ. α'.

οἷοι καὶ Διὸς Αἰγίνας τε λέκτρον | ποιμένες ἀμφεπόλησαν
Κυπρίας δώρων· ἔβλαστεν δ' υἱὸς Οἰνώνας βασιλεὺς
χειρὶ καὶ βουλαῖς ἄριστος. πολλά νιν πολλοὶ λιτάνευον
ἰδεῖν.

cf. Horace. ... excubat in genis.

desunt omnes praeter BD diorth.² (retr.)
Inscr. om. BD — Δείνιδι Er. Schmid: Δεινίᾳ diorth.²
**1** κᾶρυξ D — ἀμβροσιᾶν B: ἀμβροσιῶν D: ἀμβροσίων diorth.²
**2** παρθενηΐοις G. Hermann: παρθενηΐοισι B: παρθενίοισι D diorth.² — γλεφ. Heyne: βλεφ. - **3** ἀναγκὰς Er. Schmid: ἀνάγκαις G. Hermann

ἀβοατὶ γὰρ ἡρώων ἄωτοι περιναιεταόντων
ἤθελον κείνου γε πείθεσθ' ἀναξίαις ἑκόντες,

'Επ. α΄.

οἵ τε κρανααῖς ἐν Ἀθάναισιν ἅρμοζον στρατὸν
οἵ τ' ἀνὰ Σπάρταν Πελοπηϊάδαι.
ἱκέτας Αἰακοῦ σεμνῶν γονάτων πόλιός θ' ὑπὲρ φίλας
ἀστῶν θ' ὑπὲρ τῶνδ' ἅπτομαι φέρων
Λυδίαν μίτραν καναχηδὰ πεποικιλμέναν,
Δείνιος δισσῶν σταδίων καὶ πατρὸς Μέγα Νεμεαῖον ἄγαλμα.
σὺν θεῷ γάρ τοι φυτευθεὶς ὄλβος ἀνθρώποισι παρμονώτερος·

Στρ. β΄.

ὅσπερ καὶ Κινύραν ἔβρισε πλούτῳ | ποντίᾳ ἔν ποτε Κύπρῳ.
ἵσταμαι δὴ ποσσὶ κούφοις, ἀμπνέων τε πρίν τι φάμεν.
πολλὰ γὰρ πολλᾷ λέλεκται· νεαρὰ δ' ἐξευρόντα δόμεν βασάνῳ
ἐς ἔλεγχον ἅπας κίνδυνος· ὄψον δὲ λόγοι φθονεροῖσιν·
ἅπτεται δ' ἐσλῶν ἀεί, χειρόνεσσι δ' οὐκ ἐρίζει.

Ἀντ. β΄.

κεῖνος καὶ Τελαμῶνος δάψεν υἱὸν | φασγάνῳ ἀμφικυλίσαις.
ἦ τιν' ἄγλωσσον μέν, ἦτορ δ' ἄλκιμον, λάθα κατέχει
ἐν λυγρῷ νείκει· μέγιστον δ' αἰόλῳ ψεύδει γέρας ἀντέταται.
κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ Δαναοὶ θεράπευσαν·
χρυσέων δ' Αἴας στερηθεὶς ὅπλων φόνῳ πάλαισεν.

'Επ. β΄.

ἦ μὰν ἀνόμοιά γε δαίοισιν ἐν θερμῷ χροῒ

---

desunt omnes praeter BD diorth.² (retr.)

**9** ἀβοατὶ diorth.²: κἀβοατὶ BD **10** ἀναξίαις e Schol. Alberti: ἂν ἀξίαις **12** Σπάρτην BD — Πελοπηϊάδαι margo Brubachianae: Πελοπηΐδαι **13** γουνάτων diorth.² **14** τῶν δε BD **16** Δείνι ος B: Δείνιος D: Δεινίδος diorth.² — Νεμεαῖον Pauw: Νέμειον **18** ὅσπερ B (Schol.): ὥσπερ — Κιννύραν diorth.² **20** πολλᾷ Pauw: πολλὰ — δόμεναι diorth.² **21** om. δὲ λόγοι diorth.² **22** αἰεὶ BD **23** -ίσαις Böckh: -ίσσαις BD: -ίσας diorth.² **24** ἦ] ἦ B **24** sq. κατέχει ἐν e Schol. G. Hermann: κατέχει τε B?: κατέχειν D: κατέχει diorth.² **28** δαίοισιν D: δαΐοῖσιν B: δᾴοισιν G. Hermann: δαΐοισιν diorth.²

L.S. held up, propose as a prize: 'has been held out to', co

wrestle with

Yet verily far different wounds gape [or 'gush with blood'] on the warm flesh of foemen

Shake, drive from his post. L.S. hard pressed F.

'indeed. and besides'.

'press hard. doth violence to'

stretch up, lift up: 'rears on a rotten foundation' 'sets up a

... notoriety of the obscure'

P.8.60. 'Keeps'

'that make green'

(of success and)
the delight ^ seeks to get evidence set before men's eyes" F. sc. poet's sons.

ἕλκεα ῥῆξαν πελεμιζόμενοι
ὑπ' ἀλεξιμβρότῳ λόγχᾳ, τὰ μὲν ἀμφ' Ἀχιλεῖ νεοκτόνῳ,
ἄλλων τε μόχθων ἐν πολυφθόροις
ἁμέραις. ἐχθρὰ δ' ἄρα πάρφασις ἦν καὶ πάλαι,
αἱμύλων μύθων ὁμόφοιτος, δολοφραδής, κακοποιὸν ὄνειδος·
ἃ τὸ μὲν λαμπρὸν βιᾶται, τῶν δ' ἀφάντων κῦδος ἀντείνει σαθρόν.

Στρ. γ'.

εἴη μή ποτέ μοι τοιοῦτον ἦθος, | Ζεῦ πάτερ, ἀλλὰ κελεύθοις
ἁπλόαις ζωᾶς ἐφαπτοίμαν, θανὼν ὡς παισὶ κλέος
μὴ τὸ δύσφαμον προσάψω. χρυσὸν εὔχονται, πεδίον δ' ἕτεροι
ἀπέραντον· ἐγὼ δ' ἀστοῖς ἁδὼν καὶ χθονὶ γυῖα καλύψαιμ',
αἰνέων αἰνητά, μομφὰν δ' ἐπισπείρων ἀλιτροῖς.

Ἀντ. γ'.

αὔξεται δ' ἀρετά, χλωραῖς ἐέρσαις | ὡς ὅτε δένδρεον ᾄσσει,
ἐν σοφοῖς ἀνδρῶν ἀερθεῖσ' ἐν δικαίοις τε πρὸς ὑγρὸν
αἰθέρα. χρεῖαι δὲ παντοῖαι φίλων ἀνδρῶν· τὰ μὲν ἀμφὶ πόνοις
ὑπερώτατα· μαστεύει δὲ καὶ τέρψις ἐν ὄμμασι θέσθαι
~~πιστόν.~~ ὦ Μέγα, τὸ δ' αὖτις τεὰν ψυχὰν κομίξαι

Ἐπ. γ'.

οὔ μοι δυνατόν· κενεᾶν δ' ἐλπίδων χαῦνον τέλος·
σεῦ δὲ πάτρᾳ Χαριάδαις τε λάβρον
ὑπερεῖσαι λίθον Μοισαῖον ἕκατι ποδῶν εὐωνύμων
δὶς δὴ δυοῖν. χαίρω δὲ πρόσφορον

---

desunt omnes praeter BD diorth.² (retr.)

**29** ἕλκε' ἔρρηξαν Er. Schmid — πελεμ. e Schol. Wakefield: πολεμ. **30** ἀλεξιβρότῳ D **31** ἐν πολυφθόροις Böckh: παμφθόροισιν ἐν Bergk: πολυφθόροισιν ἐν **33** αἱμύλων retr.: αἰμύλων diorth.²: αἱμυλίων BD — ὁμόφυτος B **34** δ'] δὲ BD **36** ἐφαπτοίμην B — κλέος] κλέα diorth.² **37** χρυσὸν δ' εὔχ. B **38** ἁδὼν Aldina: ἀδὼν retr.: ἁδῶν D: ἀδῶν B diorth.² — καλύψαιν Bergk: καλύψαιμ' **40** sq. δένδρεον ᾄσσει, ἐν σοφοῖς Böckh: δένδρον ἀΐσσει σοφοῖς retr.: δένδρεον ἀΐσσει σοφοῖς **41** ὑγρὰν Er. Schmid **44** πιστόν e Schol. Mommsen: πιστά B: πίσταν D: πίστιν diorth.² **46** λαῦρον B

ἐν μὲν ἔργῳ κόμπον ἱείς, ἐπαοιδαῖς δ᾽ ἀνὴρ
νώδυνον καί τις κάματον θῆκεν. ἦν γε μὰν ἐπικώμιος ὕμνος
δὴ πάλαι, καὶ πρὶν γενέσθαι τὰν Ἀδράστου τάν τε Καδμείων ἔριν.

---

desunt omnes praeter BD diorth.[2] (retr.)
**51** ante καὶ dist. B diorth.[2]: non dist. D

---

## [ΝΕΜΕΟΝΙΚΑΙ Θʹ.]

# ΧΡΟΜΙῼ ΑΙΤΝΑΙῼ

### ΑΡΜΑΤΙ.

---

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒

Στρ. αʹ.

Κωμάσομεν παρ᾽ Ἀπόλλωνος Σικυώνοθε, Μοῖσαι,
τὰν νεοκτίσταν ἐς Αἴτναν, ἔνθ᾽ ἀναπεπταμέναι ξείνων νενίκανται θύραι,
ὄλβιον ἐς Χρομίου δῶμ᾽. ἀλλ᾽ ἐπέων γλυκὺν ὕμνον πράσσετε.
τὸ κρατήσιππον γὰρ ἐς ἅρμ᾽ ἀναβαίνων ματέρι καὶ διδύμοις παίδεσσιν αὐδὰν μανύει
Πυθῶνος αἰπεινᾶς ὁμοκλάροις ἐπόπταις.

Στρ. βʹ.

ἔστι δέ τις λόγος ἀνθρώπων, τετελεσμένον ἐσλὸν
μὴ χαμαὶ σιγᾷ καλύψαι· θεσπεσία δ᾽ ἐπέων καύχας ἀοιδὰ πρόσφορος.

---

desunt omnes praeter BD diorth.[2] (retr.)
Inscr. om. BD
**1** Σικυωνόθεν B **2** ἐς] εἰς B diorth.[2] **4** αὐδὰν] αὐχὰν G. Hermann — μανύει B: μηνύει **7** καύχας] καύχαις Benedictus

at a festal procession

make to quiver

ἀλλ᾽ ἀνὰ μὲν βρομίαν φόρμιγγ᾽, ἀνὰ δ᾽ αὐλὸν ἐπ᾽ αὐτὰν ὄρσομεν
ἱππείων ἀέθλων κορυφάν, ἅτε Φοίβῳ θῆκεν Ἄδραστος ἐπ᾽ Ἀσωποῦ ῥεέθροις· ὧν ἐγὼ
μνασθεὶς ἐπασκήσω κλυταῖς ἥρωα τιμαῖς,

Στρ. γ′.

ὃς τότε μὲν βασιλεύων κεῖθι νέαισί θ᾽ ἑορταῖς
ἰσχύος τ᾽ ἀνδρῶν ἁμίλλαις ἅρμασί τε γλαφυροῖς ἄμφαινε κυδαίνων πόλιν.
φεῦγε γὰρ Ἀμφιάρηόν τε θρασυμήδεα καὶ δεινὰν στάσιν
πατρῴων οἴκων ἀπό τ᾽ Ἄργεος· ἀρχοὶ δ᾽ οὐκ ἔτ᾽ ἔσαν Ταλαοῦ παῖδες, βιασθέντες λύᾳ.
κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ.

Στρ. δ′.

ἀνδροδάμαντ᾽ Ἐριφύλαν, ὅρκιον ὡς ὅτε πιστὸν
δόντες Οἰκλείδᾳ γυναῖκα, ξανθοκομᾶν Δαναῶν ἔσσαν μέγιστοι. δὴ τόθεν
καί ποτ᾽ ἐς ἑπταπύλους Θήβας ἄγαγον στρατὸν ἀνδρῶν αἰσιᾶν
οὐ κατ᾽ ὀρνίχων ὁδόν· οὐδὲ Κρονίων ἀστεροπὰν ἐλελίξαις οἴκοθεν μαργουμένους
στείχειν ἐπώτρυν᾽, ἀλλὰ φείσασθαι κελεύθου.

Στρ. ε′.

φαινομέναν δ᾽ ἄρ᾽ ἐς ἄταν σπεῦδεν ὅμιλος ἱκέσθαι
χαλκέοις ὅπλοισιν ἱππείοις τε σὺν ἔντεσιν· Ἰσμηνοῦ δ᾽ ἐπ᾽ ὄχθαισι γλυκὺν
νόστον ἐρεισάμενοι λευκανθέα σώμασι πίαναν καπνόν·

---

desunt omnes praeter BD diorth.² (retr.)

8 αὐτὰν Ceporinus: αὐτὸν — ὄρσομεν Moreliana: ὄρσωμεν 9 ἱππίων G. Hermann — ἄθλων Heyne 13 τε] ποτε B 14 πατρώων BD: πατέρων diorth.²: πατρίων Er. Schmid 15 δίκαν] μάχαν Hartung (e paraphr. Schol.) 16 ἀνδροδάμαντ᾽ B?: ἀνδροδάμαν τ᾽ B? (supra in diorth.²): ἀνδρομάδαν τ᾽ (sic) D: Ἀνδρομέδαν τ᾽ diorth.²: ἀνδροδάμαν δ᾽ Bergk 17 Οἰκλείδᾳ Benedictus: Ὀϊκλείδᾳ D diorth.²: Ἰοκλείδα B — ἔσσαν Böckh: ἦσαν 17 sq. δὴ τόθεν καί ποτ᾽ ἐς Böckh: καί ποτ᾽ ἐς (om. δὴ τόθεν) 18 ἀνδρῶν στρατὸν diorth.² — αἰσιᾶν diorth.²: αἰσιῶν B: om. D 23 ἐρεισάμενοι B (lemma D supra): ἐρυσάμενοι D diorth.²: ἐρυσσάμενοι G. Hermann — λευκανθέα] λευκοθέαν retr.: λευκὸν θέαν (diorth.² supra): λευκανθέαν Aldina — σώμασι πίαναν et σώματ᾽ ἐπίαναν G. Hermann: σώμασιν ἐπίαναν B: σώμασι ἐπίαναν D: σώμασ᾽ ἐπίαναν diorth.²

male soluta novis alite.

[illegible] ὁδοὺς ἀθύμους καὶ παρόρνιθας πόρους.

[set down as sure a delightful return]

ἑπτὰ γὰρ δαίσαντο πυραὶ νεογυίους φῶτας· ὁ δ' Ἀμφι-
ἀρῃ σχίσσεν κεραυνῷ παμβίᾳ
Ζεὺς τὰν βαθύστερνον χθόνα, κρύψεν δ' ἅμ' ἵπποις,

Στρ. ς'.

δουρὶ Περικλυμένου πρὶν νῶτα τυπέντα μαχατὰν
θυμὸν αἰσχυνθῆμεν. ἐν γὰρ δαιμονίοισι φόβοις φεύγοντι
καὶ παῖδες θεῶν.
εἰ δυνατόν, Κρονίων, πεῖραν μὲν ἀγάνορα Φοινικοστόλων
ἐγχέων ταύταν θανάτου πέρι καὶ ζωᾶς ἀναβάλλομαι ὡς
πόρσιστα, μοῖραν δ' εὔνομον
αἰτέω σε παισὶν δαρὸν Αἰτναίων ὀπάζειν,

Στρ. ζ'.

Ζεῦ πάτερ, ἀγλαΐαισιν δ' ἀστυνόμοις ἐπιμίξαι
λαόν. ἐντί τοι φίλιπποί τ' αὐτόθι καὶ κτεάνων ψυχὰς
ἔχοντες κρέσσονας
ἄνδρες. ἄπιστον ἔειπ'· αἰδὼς γὰρ ὑπόκρυφα κέρδει κλέ-
πτεται,
ἃ φέρει δόξαν. Χρομίῳ κεν ὑπασπίζων παρὰ πεζοβόαις
ἵπποις τε ναῶν τ' ἐν μάχαις
ἔκρινας ἂν κίνδυνον ὀξείας ἀϋτᾶς,

Στρ. η'.

οὕνεκεν ἐν πολέμῳ κεῖνα θεὸς ἔντυνεν αὐτοῦ
θυμὸν αἰχματὰν ἀμύνειν λοιγὸν Ἐνυαλίου. παῦροι δὲ
βουλεῦσαι φόνου
παρποδίου νεφέλαν τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν στίχας
χερσὶ καὶ ψυχᾷ δυνατοί· λέγεται μὰν Ἕκτορι μὲν κλέος
ἀνθῆσαι Σκαμάνδρου χεύμασιν
ἀγχοῦ, βαθυκρήμνοισι δ' ἀμφ' ἀκταῖς Ἑλώρου,

Στρ. θ'.

ἔνθ' Ἀρείας πόρον ἄνθρωποι καλέοισι, δέδορκεν
παιδὶ τοῦτ' Ἁγησιδάμου φέγγος ἐν ἁλικίᾳ πρώτᾳ· τὰ
δ' ἄλλαις ἁμέραις

---

desunt omnes praeter BD diorth.[2] (retr.)

**24** δ'] δὲ BD — Ἀμφιάρῃ Heyne: Ἀμφιάρηϊ — σχίσσεν G. Hermann: σχίσαις et σχίσε B: σχίσεν D diorth.[2] **31** ἐπιμῖξαι Schneidewin — **32** ἐντί τοι] ἔν τοι τὶν G. Hermann: εἰσίν τοι Böckh — τ'] τε BD **33** ὑπὸ κρύφα Böckh (Schol.?) **34** ἃ] ὃ diorth.[2] **36** οὕνεκεν B (D lemma): θ' ἕνεκεν D: οὕνεκεν diorth.[2] **38** ποτὶ BD (Schol.): ποδὶ diorth.[2] **40** Ἑλώρου B **41** ἔνθα Ῥείας Beck: ἔνθ' Ἀρέας Bothe **42** ἁμέραις diorth.[2]: ἡμέραις BD

Spearman, warlike

Such

'attain' gen. not realised.

forceful, mighty, potent

πολλὰ μὲν ἐγκονίᾳ χέρσῳ, τὰ δὲ γείτονι πόντῳ φάσομαι.
ἐκ πόνων δ', οἳ σὺν νεότατι γένωνται σύν τε δίκᾳ, τε-
λέθει πρὸς γῆρας αἰὼν ἁμέρα.
ἴστω λαχὼν πρὸς δαιμόνων θαυμαστὸν ὄλβον.

Στρ. ι'.

εἰ γὰρ ἅμα κτεάνοις πολλοῖς ἐπίδοξον ἄρηται
κῦδος, οὐκέτ' ἔστι πόρσω θνατὸν ἔτι σκοπιᾶς ἄλλας
ἐφάψασθαι ποδοῖν.
ἡσυχία δὲ φιλεῖ μὲν συμπόσιον· νεοθαλὴς δ' αὔξεται
μαλθακᾷ νικαφορία σὺν ἀοιδᾷ· θαρσαλέα δὲ παρὰ κρα-
τῆρα φωνὰ γίνεται.
ἐγκιρνάτω τίς νιν, γλυκὺν κώμου προφάταν,

Στρ. ια'.

ἀργυρέαισι δὲ νωμάτω φιάλαισι βιατὰν
ἀμπέλου παῖδ', ἅς ποθ' ἵπποι κτησάμεναι Χρομίῳ πεμ-
ψαν θεμιπλέκτοις ἅμα
Λατοΐδα στεφάνοις ἐκ τᾶς ἱερᾶς Σικυῶνος. Ζεῦ πάτερ,
εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι σὺν Χαρίτεσσιν, ὑπὲρ
πολλῶν τε τιμαλφεῖν λόγοις
νίκαν, ἀκοντίζων σκοποῖ' ἄγχιστα Μοισᾶν.

---

desunt omnes praeter BD diorth.[2] (retr.)

**43** *ἐγκονίᾳ χέρσῳ* Mommsen: *ἐν κονίᾳ χερσοῦ* Schol.?: *ἐν κονίᾳ χέρσῳ* **44** *δ', οἳ* diorth.[2]: *δὲ οἱ* et *δὲ οἳ* B: *δέ οἱ* D **46** *κτεάνοισι* BD **47** *οὐκέτ' ἔστι πόρσω* Romana: *οὐκέτι πόρσω* B?: *οὐκ ἔστι πρόσω* D: *οὐκέτ' ἐστὶ πρόσω* diorth.[2] **48** *ἡσυχία* BD (Schol.): *ἀσυχία* vel *ἁσυχία* apud Schol. ad Nem. V: *ἡσυχίαν* diorth.[2]: *ἁσυχίαν* Beck **49** *θαρσαλέον* apud Schol. Luciani — *κρατῆρα* BD: *κρητῆρα* (lemma D) diorth.[2]: *κρητῆρι* apud Schol. Luciani et apud Orionem — *γίγνεται* Böckh **50** *νιν* Mommsen: *μιν* **52** *ἅμα* e Schol. Er. Schmid: *ἀμφὶ* **53** *τᾶς*] *τῆς* B **55** *νίκαν* (cum utroque Schol.) Ceporinus: *νικᾶν* (etiam *τινές* apud Schol.) — *σκοποῖ'* Ahrens: *σκοποῦ* — *Μοῖσαν* (unus Schol.)

# [ΝΕΜΕΟΝΙΚΑΙ Ι′.]

# ΘΕΙΑΙΩι ΑΡΓΕΙΩι

## ΠΑΛΑΙΣΤΗι.

---

### Strophae.

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓

### Epodi.

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
⏖ ⏑ – –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓

*Στρ. α′.*

*Δαναοῦ πόλιν ἀγλαοθρόνων τε πεντήκοντα κορᾶν, Χάριτες,*
*Ἄργος Ἥρας δῶμα θεοπρεπὲς ὑμνεῖτε· φλέγεται δ᾽ ἀρεταῖς*
*μυρίαις ἔργων θρασέων ἕνεκεν.*
*μακρὰ μὲν τὰ Περσέος ἀμφὶ Μεδοίσας Γοργόνος·*
*πολλὰ δ᾽ Αἰγύπτῳ τὰ κατέκτιθεν ἄστη ταῖς Ἐπάφου παλάμαις·*
*οὐδ᾽ Ὑπερμήστρα παρεπλάγχθη, μονόψαφος ἐν κολεῷ κατασχοῖσα ξίφος.*

---

desunt omnes praeter BD diorth.[2] (retr.)

Inscr. om. BD — *Θεαίῳ* Böckh

**1** *ἀγλαοθώκων* diorth.[2] **4** *Περσέος* diorth.[2]: *Περσέως* BD **5** *Αἰγύπτῳ τὰ κατέκτιθεν ἄστη* Mommsen (partim cum Böckh, partim cum G. Hermann): *Αἰγύπτῳ κατῴκισθεν ἄστη* **6** *Ὑπερμήστρα* B (Schol. B): *Ὑπερμνήστρα* D diorth.[2] (Schol. D) — *παρεπλάχθη* diorth.[2] — *μονόψαφος* e Schol. Hecker: *μονόψαφον* — *κουλεῷ* G. Hermann — *κατασχοῦσα* retr.

Ἀντ. α΄.

Διομήδεα δ᾽ ἄμβροτον ξανθά ποτε Γλαυκῶπις ἔθηκε
θεόν·
γαῖα δ᾽ ἐν Θήβαις ὑπέδεκτο κεραυνωθεῖσα Διὸς βέλεσιν
μάντιν Οἰκλείδαν, πολέμοιο νέφος·
καὶ γυναιξὶ καλλικόμοισιν ἀριστεύει πάλαι.
Ζεὺς ἐπ᾽ Ἀλκμήναν Δανάαν τε μολὼν τοῦτον κατέφανε
λόγον·
πατρί τ᾽ Ἀδράστοιο Λυγκεῖ τε φρενῶν καρπὸν εὐθείᾳ
συνάρμοξεν δίκᾳ·

Ἐπ. α΄.

θρέψε δ᾽ αἰχμὰν Ἀμφιτρύωνος. ὁ δ᾽ ὄλβῳ φέρτατος
ἵκετ᾽ ἐς κείνου γενεάν, ἐπεὶ ἐν χαλκέοις ὅπλοις
Τηλεβόας ἐναρόντος ὄψιν ἐειδόμενος
ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν,
σπέρμ᾽ ἀδείμαντον φέρων Ἡρακλέος· οὗ κατ᾽ Ὄλυμπον
ἄλοχος Ἥβα τελείᾳ παρὰ ματέρι βαίνοισ᾽ ἔστι, καλλί-
στα θεῶν.

Στρ. β΄.

βραχύ μοι στόμα πάντ᾽ ἀναγήσασθ᾽, ὅσων Ἀργεῖον ἔχει
τέμενος
μοῖραν ἐσλῶν· ἔστι δὲ καὶ κόρος ἀνθρώπων βαρὺς ἀν-
τιάσαι·
ἀλλ᾽ ὅμως εὔχορδον ἔγειρε λύραν,
καὶ παλαισμάτων λάβε φροντίδ᾽· ἀγών τοι χάλκεος
δᾶμον ὀτρύνει ποτὶ βουθυσίαν Ἥρας ἀέθλων τε κρίσιν·
Οὐλία παῖς ἔνθα νικάσαις δὶς ἔσχεν Θειαῖος εὐφόρων
λάθαν πόνων.

---

desunt omnes praeter BD diorth.² (retr.)

**8** *βέλεϊ* D? **9** *Οἰκλ.* Er. Schmid: *Ὀϊκλ.* **10** *γυναιξὶν* Er. Schmid — *πάλαι* cum seqq. iung. Ceporinus **11** *Ἀλκμάναν* retr. — *μολὼν* (lemma D) diorth.²: *μολῶν* — *τοῦτον* e Schol. Er. Schmid: *τὸν* **12** *πατρὶ δ᾽* (lemma D) Heyne **14** *ἐς ἐκείνου* B — *ἐπεὶ καὶ ἐν* diorth.² **15** *ἐναρόντος* e Schol. Mommsen: *ἔναιρε̄. τί οἱ* B: *ἔναρε. τί οἱ* D: *ἔναρεν. τί οἱ* diorth.²: *ἐναρόντι* Rittershausen: *ἔναρεν, καί οἱ* Böckh **18** *μητέρι* B — *ἔστι* Er.Schmid: *ἐστὶ* **22** *χάλκεον* B supra **23** *βουθυσίαν* BD: *θυσίαν* diorth.² **24** *Οὐλία* B (Schol. B): *Ἀλία* D: *Ἁλία* diorth.²: *Ἁλίου* retr. (Schol. D) — *νικάσαις* D diorth.²: *νικήσαις* B — *Θεαῖος* G. Hermann — *εὐφόρων*] *εὐφρόνων* B supra: utrumque Schol.

Ἀντ. β'.

ἐκράτησε δὲ καί ποθ' Ἕλλανα στρατὸν Πυθῶνι, τύχᾳ τε μολὼν
καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον, Μοίσαισί τ' ἔδωκ' ἀρόσαι,
τρὶς μὲν ἐν πόντοιο πύλαισι λαχών,
τρὶς δὲ καὶ σεμνοῖς δαπέδοις ἐν Ἀδραστείῳ νόμῳ.
Ζεῦ πάτερ, τῶν μὰν ἔραται φρενί, σιγᾷ οἱ στόμα· πᾶν δὲ τέλος
ἐν τὶν ἔργων· οὐδ' ἀμόχθῳ καρδίᾳ προσφέρων τόλμαν, παραιτεῖται χάριν·

Ἐπ. β'.

γνώτ' ἀείδω θεῷ τε καὶ ὅστις ἁμιλλᾶται περὶ
ἐσχάτων ἀέθλων κορυφαῖς. ὕπατον δ' ἔσχεν Πίσα
Ἡρακλέος τεθμόν· ἁδεῖαί γε μὲν ἀμβολάδαν
ἐν τελεταῖς δὶς Ἀθαναίων νιν ὀμφαὶ
κώμασαν· γαίᾳ δὲ καυθείσᾳ πυρὶ καρπὸς ἐλαίας
ἔμολεν Ἥρας τὸν εὐάνορα λαὸν ἐν ἀγγέων ἕρκεσιν παμποικίλοις.

Στρ. γ'.

ἕπεται δέ, Θειαῖε, ματρώων πολύγνωτον γένος ὑμετέρων
εὐάγων τιμὰ Χαρίτεσσί τε καὶ σὺν Τυνδαρίδαις θαμάκις.
ἀξιωθείην κεν, ἐὼν Θρασύκλου
Ἀντία τε ξύγγονος, Ἄργει μὴ κρύπτειν φάος
ὀμμάτων. νικαφορίαις γὰρ ὅσαις Προίτοιο τόδ' ἱπποτρόφον
ἄστυ θάλησεν Κορίνθου τ' ἐν μυχοῖς καὶ Κλεωναίων πρὸς ἀνδρῶν τετράκις·

---

desunt omnes praeter BD diorth.[2] (retr.)

**25** *μολὼν* diorth.[2]: *μολῶν* BD **26** *Μοίσαισί τ'*] *Μοίσαισιν* Heyne **28** *νομῷ* Er. Schmid **29** *μὰν* Er. Schmid: *μὲν* **31** *γνώτ'* diorth.[2]: *γνῶτ'* BD — *γνώτ' ἀείδω θεῷ τε*] *γνωτὰ Θειαίῳ τε* G. Hermann — *καὶ ὅστις* BD: *χ' ὥστις* diorth.[2] **32** *ἄθλων* G. Hermann — *κορυφᾶς* (Schol.?) Er. Schmid **33** sq. *ἁδείᾳ . . . τελετᾷ* v. l. apud Schol. **34** *νιν* Böckh: *μιν* B: om. D: *γὰρ* diorth.[2] **35** *γαῖα δὲ καυθεῖσα* D retr. **37** *Θεαῖε* Böckh — *πολυγνώτῳ γένει* Er. Schmid **38** *καὶ σὺν Τυνδαρίδαις* Er. Schmid: *καὶ Τυνδαρίδαις* BD: *καὶ Τυνδαρίδαισι* diorth.[2] **40** *ξύγγ.* Er. Schmid: *σύγγ.* **41** *νικαφορίαισι* BD **41** sq. *Προίτοιο τόδ' ἱπποτρόφον ἄστυ θάλησεν* Böckh: *ἱπποτρόφον ἄστυ τὸ Προίτοιο θάλησε(ν)*

'according to the institution.'

'by means of'

alternately

Ἀντ. γ'.

Σικυωνόθε δ' ἀργυρωθέντες σὺν οἰνηραῖς φιάλαις ἀπέβαν,
ἐκ δὲ Πελλάνας ἐπιεσσάμενοι νῶτον μαλακαῖσι κρόκαις·
ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατὸν
ἐξελέγχειν· μακροτέρας γὰρ ἀριθμῆσαι σχολᾶς·
ὅντε Κλείτωρ καὶ Τεγέα καὶ Ἀχαιῶν ὑψίβατοι πόλιες
καὶ Λύκαιον πὰρ Διὸς θῆκε δρόμῳ σὺν ποδῶν χειρῶν
τε νικᾶσαι σθένει.

Ἐπ. γ'.

Κάστορος δ' ἐλθόντος ἐπὶ ξενίαν πὰρ Παμφάη
καὶ κασιγνήτου Πολυδεύκεος, οὐ θαῦμα σφίσιν
ἐγγενὲς ἔμμεν ἀεθληταῖς ἀγαθοῖσιν· ἐπεὶ
εὐρυχόρου ταμίαι Σπάρτας ἀγώνων
μοῖραν Ἑρμᾷ καὶ σὺν Ἡρακλεῖ διέποντι θάλειαν,
μάλα μὲν ἀνδρῶν δικαίων περικαδόμενοι. καὶ μὰν θε-
ῶν πιστὸν γένος.

Στρ. δ'.

μεταμειβόμενοι δ' ἐναλλὰξ ἁμέραν τὰν μὲν παρὰ πατρὶ
φίλῳ
Δὶ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαίας ἐν γυάλοις Θε-
ράπνας,
πότμον ἀμπιπλάντες ὁμοῖον· ἐπεὶ
τοῦτον ἢ πάμπαν θεὸς ἔμμεναι οἰκεῖν τ' οὐρανῷ
εἵλετ' αἰῶνα φθιμένου Πολυδεύκης Κάστορος ἐν πολέμῳ.
τὸν γὰρ Ἴδας ἀμφὶ βουσίν πως χολωθεὶς ἔτρωσεν χαλ-
κέας λόγχας ἀκμᾷ.

Ἀντ. δ'.

ἀπὸ Ταϋγέτου πεδαυγάζων ἴδεν Λυγκεὺς δρυὸς ἐν στε-
λέχει

desunt omnes praeter BD diorth.[2] (retr.)

**43** Σικυωνόθε Er. Schmid: Σικυωνόθεν — ἀπέβαν] ἐπέβαν vitium Aldinae **48** θῆκε Moreliana: θῆκεν diorth.[2]: ἔθηκε BD — ποδῶν χειρῶν τε Er. Schmid: ποδῶν τε χειρῶν τε B: ποδῶν τε χειρῶν D diorth.[2] **49** ξεινίαν diorth.[2] — πὰρ Er. Schmid: παρὰ — Παμφάη BD retr.: Παμφάη (Schol.) diorth.[2] **53** θαλειᾶν e Schol. Ceporinus **55** om. μὲν παρὰ (B corr.) diorth.[2] **56** Δὶ Aldina: Δὶ Böckh: Δῑ — δ' B: θ' D diorth.[2] — γυάλοισι diorth.[2] **60** λόγχης diorth.[2]. — ἀκμᾷ Pauw: αἰχμᾷ **61** πεδαυγάζων diorth.[2]: πέδ' αὖ γάζων (sic) D: πόδ' αὐγάζων B: ποταυγάζων Stephanus

Cf. 'Si fratrem Pollux alterna morte redemit, Itque reditque viam totiens' Aen. vi. 121.

ἥμενον· κείνου γὰρ ἐπιχθονίων πάντων γένετ᾽ ὀξύτατον
ὄμμα. λαιψηροῖς δὲ πόδεσσιν ἄφαρ
ἐξικέσθαν, καὶ μέγα ἔργον ἐμήσαντ᾽ ὠκέως.
καὶ πάθον δεινὸν παλάμαις Ἀφαρητίδαι Διός· αὐτίκα γὰρ
ἦλθε Λήδας παῖς διώκων· τοὶ δ᾽ ἔναντα στάθεν τύμβῳ σχεδὸν πατρωΐῳ·

Ἐπ. δ'.

ἔνθεν ἁρπάξαντες ἄγαλμ᾽ Ἀΐδα, ξεστὸν πέτρον,
ἔμβαλον στέρνῳ Πολυδεύκεος· ἀλλ᾽ οὔ νιν φλάσαν,
οὐδ᾽ ἀνέχασσαν· ἐφορμαθεὶς δ᾽ ἄρ᾽ ἄκοντι θοῷ
ἤλασε Λυγκέος ἐν πλευραῖσι χαλκόν.
Ζεὺς δ᾽ ἐπ᾽ Ἴδᾳ πυρφόρον πλᾶξε ψολόεντα κεραυνόν·
ἅμα δ᾽ ἐκαίοντ᾽ ἐρῆμοι. χαλεπὰ δ᾽ ἔρις ἀνθρώποις ὁμιλεῖν κρεσσόνων.

Στρ. ε'.

ταχέως δ᾽ ἐπ᾽ ἀδελφεοῦ βίαν πάλιν χώρησεν ὁ Τυνδαρίδας,
καί νιν οὔπω τεθναότ᾽, ἄσθματι δὲ φρίσσοντα πνοὰς ἔκιχεν.
θερμὰ δὴ τέγγων δάκρυα στοναχαῖς
ὄρθιον φώνησε· Πάτερ Κρονίων, τίς δὴ λύσις
ἔσσεται πενθέων; καὶ ἐμοὶ θάνατον σὺν τῷδ᾽ ἐπίτειλον, ἄναξ.
οἴχεται τιμὰ φίλων τατωμένῳ φωτί· παῦροι δ᾽, ἐν πόνῳ πιστοὶ βροτῶν

Ἀντ. ε'.

καμάτου μεταλαμβάνειν. ὣς ἔννεπε· Ζεὺς δ᾽ ἀντίος ἤλυθέ οἱ

---

desunt omnes praeter BD diorth.[2] (retr.)

**62** ἥμενον Aristarchus, Apollonius, Didymus: ἡμένος alii apud Schol.: ἥμενος BD: ἡμένως diorth.[2]: ἡμένους Böckh: ἡμένω Thiersch **63** λαψαιροῖς diorth.[2] — πόδεσιν BD **64** ἔργου Aldina — ἐμήσαντ᾽ Er. Schmid: ἐμνήσατ᾽ B: ἐμνήσαντ᾽ D diorth.[2] **66** πατρωΐῳ Er. Schmid: πατρώῳ **69** ἀνέχασσαν Wakefield: ἀνέχασαν B: ἀνέσχασαν D diorth.[2] **71** Ἴδᾳ (Schol.) Moreliana: Ἴδα **72** ἅμα δ᾽ ἐκαίοντ᾽ Er. Schmid: ἁμᾶ δε κέοντ᾽ BD: ἁμᾶ δὲ κέοντ᾽ diorth.[2] — ἐρῆμοι Ahrens: ἔρημοι **73** ἐχώρησεν B **74** νιν Mommsen: μιν — φρίσσυντα πνοὰς ἔκιχεν Er. Schmid: φρίσσοντ᾽ ἀμπνοὰς ἔκιχε B: φρίσσοντ᾽ ἀναπνοὰς ἔκιχε D: φρίσσοντ᾽ ἀναπνοὰς κίχεν diorth.[2] **75** δὴ Er. Schmid: δὲ — τέγγων B: τέγων s. τάγων D: τέγκων diorth.[2] **76** φώνησε Mommsen: φώνασε **77** ἐπίτελλον B **79** ἔννεπε Heyne: ἔνεπε D: ἤνεπε diorth.[2] — ἀντίος ἤλυθέ οἱ D diorth.[2]: ἀντία ἤλυθέν οἱ B: ἤλυθεν ἀντία οἱ G. Hermann

καὶ τόδ᾽ ἐξαύδασ᾽ ἔπος· Ἐσσί μοι υἱός· τόνδε δ᾽ ἔπει-
τα πόσις,
σπέρμα θνατόν, ματρὶ τεᾷ πελάσαις
στάξεν ἥρως. ἀλλ᾽ ἄγε τῶνδέ τοι ἔμπαν αἵρεσιν
παρδίδωμ᾽. εἰ μὲν θάνατόν τε φυγὼν καὶ γῆρας ἀπεχθό-
μενον
αὐτὸς Οὔλυμπον [νέμειν μέλλεις ἐμοὶ] σύν τ᾽ Ἀθηναίᾳ
κελαινεγχεῖ τ᾽ Ἄρει·

Ἐπ. ε΄.

ἔστι σοὶ τούτων λάχος· εἰ δὲ κασιγνήτου πέρι
μάρνασαι, πάντων δὲ νοεῖς ἀποδάσσασθαι ἴσον,
ἥμισυ μέν κε πνέοις γαίας ὑπένερθεν ἐών,
ἥμισυ δ᾽ οὐρανοῦ ἐν χρυσέοις δόμοισιν.
ὣς ἄρ᾽ αὐδάσαντος οὐ γνώμᾳ διπλόαν θέτο βουλάν.
ἀνὰ δ᾽ ἔλυσεν μὲν ὀφθαλμόν, ἔπειτα δὲ φωνὰν χαλκο-
μίτρα Κάστορος.

---

desunt omnes praeter BD diorth.[2] (retr.)

**81** θνατῶν D supra **82** στάξεν Pauw: ἔσταξεν BD: ἔσταξ᾽ diorth.[2] — ἔμπας Bergk **84** Οὐλ. diorth.[2]: Ὀλ. BD — νέμειν μέλλεις ἐμοὶ Mommsen: ἐθέλεις BD: θέλεις diorth.[2]: θέλεις νῦν οἰκέειν retr.: κατοικῆσαι θέλεις Er. Schmid: θέλεις οἰκεῖν ἐμοὶ Benedictus: θέλεις ναίειν ἐμοὶ Böckh: — Ἀθην. B: Ἀθαν. **85** τούτων] μὲν τούτων vitium Romanae: μὲν τῶν G. Hermann **86** ἀποδάσσασθαι Er. Schmid: ἀποδάσασθαι — ἶσον B **87** ὑπέρνεθεν B **89** αὐδάσ. B: αὐδήσ. **90** ἔλυσεν Er. Schmid: ἔλυσε — χαλκομίτρα (Schol.) retr.: χαλκεομίτρα

---

for εἰσιτήρια initiatory ceremonies.

## [NEMEONIKAI IA΄.]

# ΑΡΙΣΤΑΓΟΡᾼ ΤΕΝΕΔΙῼ

### ΠΡΥΤΑΝΕΙ.

**Strophae.**

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓ –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓

---

desunt omnes praeter BD diorth.[2] (retr.)

Inscr. om. BD

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – –́ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ ⏓

Epodi.

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓

Στρ. αʹ.

Παῖ Ῥέας, ἅ τε πρυτανεῖα λέλογχας, Ἑστία,
Ζηνὸς ὑψίστου κασιγνήτα καὶ ὁμοθρόνου Ἥρας,
εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον,
εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας,
οἵ σε γεραίροντες ὀρθὰν φυλάσσοισιν Τένεδον,

Ἀντ. αʹ.

πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρώταν θεῶν,
πολλὰ δὲ κνίσσᾳ· λύρα δέ σφι βρέμεται καὶ ἀοιδά·
καὶ ξενίου Διὸς ἀσκεῖται Θέμις ἀενάοις
ἐν τραπέζαις. ἀλλὰ νῦν δόξαι τέλος
δυώδεκάμηνον περᾶσαί νιν ἀτρώτῳ κραδίᾳ.

Ἐπ. αʹ.

ἄνδρα δ' ἐγὼ μακαρίζω μὲν πατέρ' Ἀρκεσίλαν,
καὶ τὸ θαητὸν δέμας ἀτρεμίαν τε σύγγονον.
εἰ δέ τις ὄλβον ἔχων μορφὰν παραμεύσεται ἄλλων,
ἔν τ' ἀέθλοισιν ἀριστεύων ἐπέδειξεν βίαν·
θνατὰ μεμνάσθω περιστέλλων μέλη,
καὶ τελευτὰν ἁπάντων γᾶν ἐπιεσσόμενος.

---

desunt omnes praeter BD diorth.² (retr.)

2 κασιγνήτη B 4 ἀγλαῶ σκάπτω BD — πέλας] πύλας B 6 λοιβαῖς BD 7 κνίσα BD: κνίσσᾳ — σφι Böckh: σφιν retr.: σφισιν diorth.²: σφισι BD 8 Θέμις Böckh: θέμις — ἀεννάοις vitium Aldinae 9 νῦν δόξαι Mommsen: σοὶ δόξαι Bergk: νιν δόξᾳ Böckh: συνδόξαν Bothe: σὺν δόξᾳ 10 δυωδ.] δωδ. Er. Schmid — περᾶσαί νιν Dissen: περᾶσαι σὺν (lemma D): περάσαι σὺν — καρδίᾳ BD 11 Ἀρκεσίλαν D diorth.² (Schol.): Ἀγησίλαν B 12 ἀτρεμίαν BD retr.: Ἀτρεμίαν diorth.²: ἀρτεμίαν J. G. Schneider: Ἀρτεμίαν Kayser — ξύγγονον Er. Schmid 13 μορφὰν Böckh: μορφᾷ — παραμεύσεται D diorth.²: παραμέψεται B

everflowing: ever lasting

cf. ἐμέμνητο γὰρ εἰπών.

Στρ. β'.

*ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖσί νιν αἰνεῖσθαι χρεών,*
*καὶ μελιγδούποισι δαιδαλθέντα μεμίχθ' ἐν ἀοιδαῖς.*
*ἐκ δὲ περικτιόνων ἑκκαίδεκ' Ἀρισταγόραν*
*ἀγλααὶ νῖκαι πάτραν τ' εὐώνυμον*
*ἐστεφάνωσαν πάλᾳ καὶ μεγαυχεῖ παγκρατίῳ.*

Ἀντ. β'.

*ἐλπίδες δ' ὀκνηρότεραι γονέων παιδὸς βίαν*
*ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἀέθλων.*
*ναὶ μὰ γὰρ ὅρκον, ἐμὰν δόξαν παρὰ Κασταλίᾳ*
*καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου*
*κάλλιον ἂν δηριώντων ἐνόστησ' ἀντιπάλων,*

Ἐπ. β'.

*πενταετηρίδ' ἑορτὰν Ἡρακλέος τέθμιον*
*κωμάσαις, ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις*
*ἔρνεσιν. ἀλλὰ βροτῶν τὸν μὲν κενεόφρονες αὖχαι*
*ἐξ ἀγαθῶν ἔβαλον· τὸν δ' αὖ καταμεμφθέντ' ἄγαν*
*ἰσχὺν, οἰκείων παρέσφαλεν καλῶν*
*χειρὸς ἕλκων ὀπίσσω θυμὸς ἄτολμος ἐών.*

Στρ. γ'.

*συμβαλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι*
*αἷμ' ἀπὸ Σπάρτας· Ἀμύκλαθεν γὰρ ἔβα σὺν Ὀρέστᾳ*
*Αἰολέων στρατιὰν χαλκεντέα δεῦρ' ἀνάγων·*
*καὶ παρ' Ἰσμηνοῦ ῥοὰν κεκραμένον*
*ἐκ Μελανίπποιο μάτρωος. ἀρχαῖαι δ' ἀρεταὶ*

Ἀντ. γ'.

*ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος·*
*ἐν σχερῷ δ' οὔτ' ὦν μέλαιναι καρπὸν ἔδωκαν ἄρουραι,*
*δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις*

---

desunt omnes praeter BD diorth.[2] (retr.); inde a vs. 22 deest etiam diorth.[2]
**17** *ἀγαθοῖσι* diorth.[2]: *ἀγαθοῖς* BD — *νιν* Mommsen: *μιν* Heyne et Mingarelli: *μὲν* **18** *μελιγδ.*] *μελισδ.* B — *μεμίχθ' ἐν* Mommsen: *μέλειν ἐν* G. Hermann: *μελιζέμιν* **19** *περικτυόνων* D **21** *μεγαυχεῖ* Er. Schmid: *μεγαλαυχεῖ* **22** et **23** om. D retr.: non om. B **23** *ἄθλων* Böckh **25** *μολὼν* D retr.: *μολῶν* B **26** *καλλίον'* retr. — *δηρίων τῶν* B — *ἐνόστησ'* B: *ἐνοστήσαντ'* D: *ἐνέστησ'* et *ἀνέστησ'* retr. **28** *,ἀνδησ.* retr.: *.ἀναδησ.* BD **30** *ἔβαλον* D retr.: *ἔλαβον* B **33** *μὰν* Pauw: *λίαν* **34** *Ἀμυκλάθεν* retr. **35** *χαλκεντέα* Er. Schmid: *χαλκεντέων* D retr.: *χαλκέων τε* B — *ἀνάγων* B: *ἀνάτων* D: *ἀνάγον* retr. **36** *ῥοᾶν* Bergk **38** *ἀπφέροντ'* Schol.? **39** *ἐνσχερῷ* retr. **40** *περόδοις* Er. Schmid (apud Eustath. et in Cram. Anecd. Ox.): *περιόδοις*

*ἄνθος εὐῶδες φέρειν πλούτῳ ἴσον,*
*ἀλλ᾽ ἐν ἀμείβοντι. καὶ θνατὸν οὕτως ἔθνος ἄγει*

*Ἐπ. γ΄.*

*μοῖρα. τὸ δ᾽ ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐχ ἕπεται*
*τέκμαρ· ἀλλ᾽ ἔμπαν μεγαλανορίαις ἐμβαίνομεν,*
*ἔργα τε πολλὰ μενοινῶντες· δέδεται γὰρ ἀναιδεῖ*
*ἐλπίδι γυῖα· προμαθείας δ᾽ ἀπόκειται ῥοαί.*
*κερδέων δὲ χρὴ μέτρον θηρευέμεν·*
*ἀπροσίκτων δ᾽ ἐρώτων ὀξύτεραι μανίαι.*

---

**desunt omnes praeter BD retr.**

**41** *πλούτῳ ἴσον* D retr.: *ἶσον* (om. *πλούτῳ*) B: *πλουτώσιον* Bergk **42** *ἐν ἀμείβοντι* (apogr. B) Aldina: *ἐναμείβοντι* BD: *ἀναμείβοντι* retr. — *οὕτως ἔθνος* e Schol. Heyne: *οὕτω σθένος* **44** *ἔμπας* retr. — *μεγαλανορίαις* B: *μεγαλονορίαις* D: *μεγαληνορίην* retr.

# ΙΣΘΜΙΟΝΙΚΑΙ.

## ΙΣΘΜΙΟΝΙΚΑΙ Α΄.

## ΗΡΟΔΟΤΩι ΘΗΒΑΙΩι

### ΑΡΜΑΤΙ.

Strophae.

–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ | –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏒ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏓

Epodi.

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ – ⏒
– –́ ⏑ – – –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒

Στρ. α΄.

*Μᾶτερ ἐμά, τό τεόν, χρύσασπι Θήβα,*
*πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον*
*θήσομαι. μή μοι κραναὰ νεμεσάσαι | Δᾶλος, ἐν ᾇ κέχυμαι.*
*τί φίλτερον κεδνῶν τοκέων ἀγαθοῖς;*
*εἶξον, ὦ 'πολλωνιάς· ἀμφοτερᾶν τοι χαρίτων σὺν θεοῖς*
*ζεύξω τέλος,*

Ἀντ. α΄.

*καὶ τὸν ἀκειρεκόμαν Φοῖβον χορεύων*

---

desunt omnes praeter BD retr.

Inscr. om. BD

**1** ἐμά] ἁμά B **3** θήσομαι B: θάσομαι D retr. **5** ἀμφοτερᾶν Böckh: ἀμφοτέραν B?: ἀμφοτέρων B? (Schol.): ἀμφοτέροις D retr. — τοι] τῶν (apogr. D) retr.

ἐν Κέῳ ἀμφιρύτᾳ σὺν ποντίοις
ἀνδράσιν, καὶ τὰν ἁλιερκέα Ἰσθμοῦ | δειράδ᾽· ἐπεὶ στεφάνους
ἓξ ὤπασεν Κάδμου στρατῷ ἐξ ἀέθλων,
καλλίνικον πατρίδι κῦδος. ἐν ᾇ καὶ τὸν ἀδείμαντον Ἀλ-
κμήνα τέκεν

Ἐπ. α'.

παῖδα, θρασεῖαι τόν ποτε Γηρυόνα φρίξαν κύνες.
ἀλλ᾽ ἐγὼ Ἡροδότῳ τεύχων τὸ μὲν ἅρματι τεθρίππῳ
γέρας,
ἀνία τ᾽ ἀλλοτρίαις οὐ χερσὶ νωμάσαντ᾽, ἐθέλω
ἢ Καστορείῳ ἢ Ἰολάοι᾽ ἐναρμόξαι νιν ὕμνῳ.
κεῖνοι γὰρ ἡρώων διφρηλάται Λακεδαίμονι καὶ Θήβαις
ἐτέκνωθεν κράτιστοι·

Στρ. β'.

ἔν τ᾽ ἀέθλοισι θίγον πλείστων ἀγώνων,
καὶ τριπόδεσσιν ἐκόσμησαν δόμον
καὶ λεβήτεσσιν φιάλαισί τε χρυσοῦ, | γευόμενοι στεφάνων
νικαφόρων· λάμπει δὲ σαφὴς ἀρετὰ
ἔν τε γυμνοῖσι σταδίοις σφίσιν, ἔν τ᾽ ἀσπιδοδούποισιν
ὁπλίταις δρόμοις,

Ἀντ. β'.

οἷά τε χερσὶν ἀκοντίζοντες αἰχμαῖς,
καὶ λιθίνοις ὁπότε δίσκοις ἵεν.
οὐ γὰρ ἦν πενταέθλιον, ἀλλ᾽ ἐφ᾽ ἑκάστῳ | ἔργματι κεῖτο
τέλος.
τῶν ἀθρόοις ἀνδησάμενοι θαμάκις

---

desunt omnes praeter BD retr.

**7** Κέῳ B: Κείῳ D: Κίῳ retr. — ἀμφιρύτα D: ἀμφιρρύτᾳ B: ἀμφιρύτῳ (apogr. D) retr. **8** τὰν] τὴν B — ἁλιερκέος G. Hermann **9** ἐξώπασεν Aristarchus — ὤπασεν G. Hermann: ὤπασαν (lemma D): ὤπασε — ἐξαέθλων B **10** om. τὸν retr. **14** Ἰολάοι᾽ Mommsen: Ἰολάου — ἐφαρμόξαι Schol.? — νιν Mommsen: μιν **16** ἔν τ᾽ ἀέθλοισι] καὶ στεφάνοισι apud Schol. Isthm. IV vulg. **18** λεβήταισι B — γευόμενοι B (Schol.): σευόμενοι D retr. **20** γυμνοῖσι retr.: γυμνοῖς BD — ἀσπιδοδούποισιν B: ἀσπιδόσιν πεισιν D: ἀσπίδεσι πᾶσιν retr. **21** οἷά τε B: οἷς τε D: ἧσί τε retr. — αἰχμὰς Schol.? **22** ὁπότε δίσκοις B (lemma D): ὁπότε δίσκοισιν D: ὅτε δίσκοισιν retr.: ὁπότ᾽ ἐν δίσκοις G. Hermann: ὁπότ᾽ οὐ δίσκοις Kayser: ποτ᾽ ἀνὰ δίσκοισι apud Ammonium: ὁπόταν δίσκουσιν (?) Tryphon apud Eustathium **23** ἦν πενταέθλιον Mommsen: ἦν πεντάθλιον Böckh: ἦν πένταθλον Romana: ἡ ε πένταθλον B: ἧς (ἦς) πένταθλον D: ἧς πωπένταθλον retr. — ἔργματι B: ἔρματι D retr. (apud Ammonium) **24** ἀθρόοις B (D lemma): ἀθρόους D retr. — ἀνδησαμένους retr.

P. 10.18.

neverending 'teasing, galling' persistent annoyance

ἔρνεσιν χαίτας ῥεέθροισί τε Δίρκας ἔφανεν καὶ παρ' Εὐρώτᾳ πέλας,

Ἐπ. β'.

Ἰφικλέος μὲν παῖς ὁμόδαμος ἐὼν Σπαρτῶν γένει,
Τυνδαρίδας δ' ἐν Ἀχαιοῖς ὑψίπεδον Θεράπνας οἰκέων ἕδος.
χαίρετ'. ἐγὼ δὲ Ποσειδάωνι Ἰσθμῷ τε ζαθέᾳ
Ὀγχηστίαισίν τ' ἀϊόνεσσιν περιστέλλων ἀοιδὰν
γαρύσομαι τοῦδ' ἀνδρὸς ἐν τιμαῖσιν ἀγακλέα τὰν Ἀσωποδώρου πατρὸς αἶσαν

Στρ. γ'.

Ὀρχομενοῖό τε πατρῴαν ἄρουραν,
ἅ νιν ἐρειδόμενον ναυαγίαις
ἐξ ἀμετρήτας ἁλὸς ἐν κρυοέσσᾳ | δέξατο συντυχίᾳ·
νῦν δ' αὖτις ἀρχαίας ἐπέβασε πότμος
συγγενὴς εὐαμερίας. ὁ πονήσαις δὲ νόῳ καὶ προμάθειαν φέρει.

Ἀντ. γ'.

εἰ δ' ἀρετᾷ κατάκειται πᾶσαν ὀργάν,
ἀμφότερον δαπάναις τε καὶ πόνοις,
χρή νιν εὑρόντεσσιν ἀγάνορα κόμπον | μὴ φθονεραῖσι φέρειν
γνώμαις. ἐπεὶ κοῦφα δόσις ἀνδρὶ σοφῷ
ἀντὶ μόχθων παντοδαπῶν ἔπος εἰπόντ' ἀγαθὸν ξυνὸν ὀρθῶσαι καλόν.

Επ. γ'.

μισθὸς γὰρ ἄλλοις ἄλλος ἐφ' ἔργμασιν ἀνθρώποις γλυκύς,
μηλοβότᾳ τ' ἀρότᾳ τ' ὀρνιχολόχῳ τε καὶ ὃν πόντος τράφει·
γαστρὶ δὲ πᾶς τις ἀμύνων λιμὸν αἰανῆ τέταται.

---

desunt omnes praeter BD retr.

**25** ἔφανεν Er. Schmid: ἔφανε — Εὐρώτᾳ Morelina: Εὐρώτα (etiam Schol.) — πύλας B? **28** τ' Ἰσθμῷ Moreliana **32** ναυαγίοις Er. Schmid **35** πονάσαις Ahrens **36** ἀρετᾷ D (Aristarch.): ἀρετὰ retr.: ἀρεταῖ et ἀρεταὶ B (ἀρεταὶ etiam bis in Schol.) **37** δαπάναις retr.: δαπάναισί B: δαπάνεσί D **38** νιν BD retr.: μιν Schol. **41** ἄλλοις ἄλλος retr.: ἄλλος ἄλλοις D: ἄλλος (om. ἄλλοις) B — ἔργμ. B: ἄρμ. D retr. — -ποις (B corr.?) retr.: -ποισι BD **42** τράφει B: τρέφει **43** αἰανῇ B

ὃς δ' ἀμφ' ἀέθλοις ἢ πολεμίζων ἄρηται κῦδος ἁβρόν,
εὐαγορηθεὶς κέρδος ὕψιστον δέκεται, πολιατᾶν καὶ ξένων
γλώσσας ἄωτον.

Στρ. δ'.

ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν
γείτον' ἀμειβομένοις εὐεργέταν
ἁρμάτων ἱπποδρόμιον κελαδῆσαι, | καὶ σέθεν, Ἀμφιτρύων,
παῖδας προσειπεῖν, τὸν Μινύα τε μυχόν,
καὶ τὸ Δάματρος κλυτὸν ἄλσος Ἐλευσῖνα, καὶ Εὔβοιαν
ἐν γναμπτοῖς δρόμοις·

Ἀντ. δ'.

Πρωτεσίλα, τὸ τεὸν δ' ἀνδρῶν Ἀχαιῶν
ἐν Φυλάκᾳ τέμενος συμβάλλομαι,
πάντα δ' ἐξειπεῖν, ὅσ' ἀγώνιος Ἑρμᾶς | Ἡροδότῳ ἔπορεν
ἵπποις, ἀφαιρεῖται βραχὺ μέτρον ἔχων
ὕμνος. ἦ μὰν πολλάκι καὶ τὸ σεσιγαμένον εὐθυμίαν
μείζω φέρει.

Ἐπ. δ'.

εἴη νιν εὐφώνων πτερύγεσσιν ἀερθέντ' ἀγλααῖς
Πιερίδων ἔτι καὶ Πυθῶθεν Ὀλυμπιάδων τ' ἐξαιρέτοις
Ἀλφεοῦ ἔρνεσι φράξαι χεῖρα τιμὰν ἑπταπύλοις
Θήβαισι τεύχοντ'. εἰ δέ τις ἔνδον νέμει πλοῦτον κρυ-
φαῖον,
ἄλλοισι δ' ἐμπίπτων γελᾷ, ψυχὰν Ἀΐδᾳ τελέων οὐ φρά-
ζεται δόξας ἄνευθεν.

---

desunt omnes praeter BD retr.

**45** εὐαγ. Pauw: εὖ ἀγ. — δέκεται Böckh: δέχεται — πολιατῶν B — γλώσσας B: γλώσσης **47** ἀμειβομένους retr. — εὐεργέταν B retr.: εὐεργετᾶν D **52** Φυλακᾶ D **53** Ἡροδότῳ ἔπορεν D: Ἡροδότῳ πόρεν retr.: Ἡροδότῳ ἔμπορεν B: Ἡροδότοιο πόρεν? **54** ἵπποισιν retr. **55** σεσιγαμένον G. Hermann: σεσωπάμενον D: σεσωπαμένον B retr. **56** νιν Mommsen: μιν — πτερύγεσιν BD — ἀγλααῖς retr.: ἀγλααῖσι D: ἀγλαΐαισι B **57** Πυθῶθεν Pauw: Πυθόθεν **60** ἄλλοισι] ἀλαοῖσι Chrysippus

Pyth. 1. 79.

# ΙΣΘΜΙΟΝΙΚΑΙ Β'.
# ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩι
## ΑΡΜΑΤΙ.

---

### Strophae.

– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒

### Epodi.

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ ⏖ – –́ ⏑ – ⏒

*Στρ. α'.*

Οἱ μὲν πάλαι, ὦ Θρασύβουλε, φῶτες, οἳ χρυσαμπύκων
ἐς δίφρον Μοισᾶν ἔβαινον κλυτᾷ φόρμιγγι συναντόμενοι,
ῥίμφα παιδείους ἐτόξευον μελιγάρυας ὕμνους,
ὅστις ἐὼν καλὸς εἶχεν Ἀφροδίτας
εὐθρόνου μνάστειραν ἁδίσταν ὀπώραν.

*Ἀντ. α'.*

ἁ Μοῖσα γὰρ οὐ φιλοκερδής πω τότ' ἦν οὐδ' ἐργάτις·
οὐδ' ἐπέρναντο γλυκεῖαι μελιφθόγγου ποτὶ Τερψιχόρας

---

desunt omnes praeter BD retr.

Inscr. om. BD

**1** οἳ Er. Schmid (apud Schol. Aristophanis): ὅσοι BD: ὅσσοι retr. **2** ἐς δίφρον] ἐν δίφρῳ (B infra) — Μουσᾶν retr. — συναντώμενοι B (apud Schol. Aristoph.) **3** μελιγήρυας apud Plutarchum **5** ἀδίσταν D **6** Μοῖσα retr.: Μοῦσα BD (etiam apud Schol. Aristoph.) — οὐ φιλ. πω τότ' D retr.: οὐ φιλ. πῶ ποτ' B: φιλ. οὔ ποτ' (apud Schol. Aristoph.) **7** ἐπέρνατο B — μελιφθόγγου Heyne et Mingarelli: om. (apud Schol. Aristoph.): μελίφθογγοι — Τερψιχόρης retr. (Schol.?)

ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί.
νῦν δ' ἐφίητι τὸ τὠργείου φυλάξαι
ῥῆμ' ἀλαθείας [ὁδῶν] ἄγχιστα βαῖνον,

Ἐπ. α'.

Χρήματα, χρήματ' ἀνήρ, ὃς φᾶ κτεάνων θαμὰ λειφθεὶς καὶ φίλων.
ἐσσὶ γὰρ ὦν σοφός, οὐκ ἀγνῶτ' ἀείδω
Ἰσθμίαν ἵπποισι νίκαν,
τὰν Ξενοκράτει Ποσειδάων ὀπάσαις,
Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ
πέμπεν ἀναδεῖσθαι σελίνων,

Στρ. β'.

εὐάρματον ἄνδρα γεραίρων, Ἀκραγαντίνων φάος.
ἐν Κρίσᾳ δ' εὐρυσθενὴς εἶδ' Ἀπόλλων νιν πόρε τ' ἀγλαΐαν·
καὶ τόθι κλειναῖς Ἐρεχθειδᾶν χαρίτεσσιν ἀραρὼς
ταῖς λιπαραῖς ἐν Ἀθάναις, οὐκ ἐμέμφθη
ῥυσίδιφρον χεῖρα πλαξίπποιο φωτός,

Ἀντ. β'.

τὰν Νικόμαχος κατὰ καιρὸν νεῖμ' ἁπάσαις ἁνίαις.
ὅντε καὶ κάρυκες ὡρᾶν ἀνέγνον, σπονδοφόροι Κρονίδα
Ζηνὸς Ἀλεῖοι, παθόντες πού τι φιλόξενον ἔργον·
ἁδυπνόῳ τέ νιν ἀσπάζοντο φωνᾷ
χρυσέας ἐν γούνασιν πίτνοντα Νίκας

---

desunt omnes praeter BD retr.

**8** *πρόσωπον* Bergk **9** *τὸ τὠργείου* Heyne: *με τὠλκαίου* Bergk: *τὠργείου* **10** *ἀλαθ.* Stephanus: *ἀληθ.* — *ὁδῶν* G. Hermann: *καλῶς* retr.: om. BD **11** *θαμὰ* Böckh: *θ' ἅμα* **12** *οὐκ*] *οὐδ'* (paraphr. Schol. D?) Hartung — *ἀγνῶτ'* B (Schol. D): *ἄγνωτ'* D retr. **13** *Ἰσθμίαν* B (D?): *Ἰσθμίοις* (apogr. D) retr. **14** *τὰν*] *μὰν* retr. **15** *κόμαν* Ceporinus **16** *ἀναδ.* Er. Schmid: *ἀνδ.* **18** *εὐρυσθενὴς*] *εὔφρων ἄναξ* e Schol. Kayser — *εἶδ'*] *αὖ* retr. — *νιν* Böckh: *μιν* — *πόρε τ' ἀγλαΐαν* Romana: *πόρεν ἀγλαΐαις* retr.: *πόρεν τ' ἀγλαΐαν* BD **19** *τόθι*] *πόθι* retr.: *τότε* (lemma D) — *καὶ τόθι* cum sqq. iung. BD (Schol.): cum antecc. Heyne — *κλειναῖς δ' Ἐρ.* Heyne **22** *νεῖμ' ἁπ.* G. Hermann: *νεῖμε π.* Pauw et Dawes: *νωμᾷ π.* **23** *ἀνέγνον* Ahrens: *ἀνέγνων* **24** *Ἀλεῖοι*] *Ἀλείου* lemma Romanae: utrumque Schol. — *πού τι* Ceporinus: *ποῦ τι* B: *ποῦ τοι* D: *που τοῦτο* retr. **26** *χρυσέας* BD (Schol.): *χρυσέοις* (apogr. D): *χρυσέοις τ'* retr. — *πίτνοντα* B: *πίτνοντο* D: *πιτνῶντο* retr.: *πιτνῶντα* Ceporinus: *πιτνόντα* Böckh

22. probably some special thing he did. perhaps he saved his chariot from [illegible] that was smashed at the corner.

23. heralds through Greece proclaiming Olympic games and universal solemn [illegible]

is [illegible] = simply 'hurl' short arrows of song as far beyond all others as make a far-
[illegible] 'sui-reverid'

deed, .. and besides'.
divers kinds.

'had folded to his bosom' 'used to cherish'

'force him to strike sail' sc. cease to fill his sail

[illegible]

chiasmus . [illegible] in summer could get to [illegible] in winter might get to Nile.

democratic wish [illegible] to fall into oblivion.]

[illegible] Charybdis

in [illegible]'

transmitter to [illegible]

[illegible] impart

[illegible]

'Επ. β'.

γαῖαν ἀνὰ σφετέραν, τὰν δὴ καλέοισιν Ὀλυμπίου Διὸς
ἄλσος· ἵν' ἀθανάτοις Αἰνησιδάμου
παῖδες ἐν τιμαῖς ἔμιχθεν.
καὶ γὰρ οὐκ ἀγνῶτες ὑμῖν ἐντὶ δόμοι
οὔτε κώμων, ὦ Θρασύβουλ', ἐρατῶν,
οὔτε μελικόμπων ἀοιδᾶν.

Στρ. γ'.

οὐ γὰρ πάγος, οὐδὲ προσάντης ἁ κέλευθος γίνεται,
εἴ τις εὐδόξων ἐς ἀνδρῶν ἄγοι τιμὰς Ἑλικωνιάδων.
μακρὰ δισκήσαις ἀκοντίσσαιμι τοσοῦθ', ὅσον ὀργὰν
Ξεινοκράτης ὑπὲρ ἀνθρώπων γλυκεῖαν
ἔσχεν. αἰδοῖος μὲν ἦν ἀστοῖς ὁμιλεῖν,

Ἀντ. γ'.

ἱπποτροφίας τε νομίζων ἐν Πανελλάνων νόμῳ·
καὶ θεῶν δαῖτας προσέπτυκτο πάσας· οὐδέ ποτε ξενίαν
οὖρος ἐμπνεύσαις ὑπέστειλ' ἱστίον ἀμφὶ τράπεζαν·
ἀλλ' ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείαις,
ἐν δὲ χειμῶνι πλέων Νείλου πρὸς ἀκτάς.

Ἐπ. γ'.

μή νυν, ὅτι φθονεραὶ θνατῶν φρένας ἀμφικρέμανται ἐλπίδες,
μήτ' ἀρετάν ποτε σιγάτω πατρῴαν,
μηδὲ τούσδ' ὕμνους· ἐπεί τοι
οὐκ ἐλινύσοντας αὐτοὺς εἰργασάμαν.
ταῦτα, Νικάσιππ', ἀπόνειμον, ὅταν
ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς.

---

desunt omnes praeter BD retr.

**27** καλέουσιν retr. **30** ὑμῶν Schol. **32** οὐ μελιφθόγγων G. Hermann — ἀοιδῶν B **33** γίγνεται Böckh **34** εἴ] ἅ retr. — aut ἄγοι aut ἄγη B **35** ἀκοντίσαιμι **36** Ξειν. retr.: Ξεν. — ὑπὲρ] ὑπὸ B? **38** -φίας] -φίαις retr. — νομίζων] κομίζων Er. Schmid **39** δαῖτας Moreliana (Schol.): δαίτας?: διαίτας — ξενίοις (apogr. D) retr. **40** ὑπέστειλ' retr.: ὑπέστειλεν BD **41** Φᾶσιν θερείαις retr.: Φάσιν θερείαις D: Φ.άσιν θερίαις B **42** πλέον B — ἀκτάς Aldina (Schol. B supra): αὐγάς (Schol. [B infra] D): ἀγάς Schneidewin: ἀκτάν BD retr. **43** μή νυν retr.: μὴ νῦν **46** ἐλινύσοντας B: ἐλινύσσοντας D retr.: ἐλιννύσσοντας (Schol. D) — εἰργασάμαν Böckh: εἰργασάμην **47** sq. ἀπόνειμον, ἐμὸν ξεῖνον εὖτ' ἠθ. G. Hermann: — ξένον B

# ΙΣΘΜΙΟΝΙΚΑΙ Γ′ [Γ′. Δ′.]

## ΜΕΛΙΣΣῼ ΘΗΒΑΙῼ

[ΠΑΓΚΡΑΤΙῼ.]

### Strophae.

–́ ⏑ – ⏓ –́ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏑ – ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓ –́ ⏑ ⏒
–́ ⏑ ⏑ ⏓ ⏑ ⏑ – ⏓ –́ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓ –́ ⏑ – ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏓

### Epodi.

– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ – ⏓ –́ ⏑ ⏒
– –́ ⏑ – ⏓ –́ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏓ –́ ⏑ ⏒
– –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓ – –́ ⏑ ⏒

Στρ. α′. III.

Εἴ τις ἀνδρῶν εὐτυχήσαις ἢ σὺν εὐδόξοις ἀέθλοις
ἢ σθένει πλούτου κατέχει φρασὶν αἰανῆ κόρον,
ἄξιος εὐλογίαις ἀστῶν μεμίχθαι.
Ζεῦ, μεγάλαι δ᾽ ἀρεταὶ θνατοῖς ἕπονται
ἐκ σέθεν· ζώει δὲ μάσσων ὄλβος ὀπιζομένων, πλαγίαις δὲ φρένεσσιν
οὐχ ὁμῶς πάντα χρόνον θάλλων ὁμιλεῖ.

Ἀντ. α′.

εὐκλέων δ᾽ ἔργων ἄποινα χρὴ μὲν ὑμνῆσαι τὸν ἐσλόν,
χρὴ δὲ κωμάζοντ᾽ ἀγαναῖς χαρίτεσσιν βαστάσαι.
ἔστι δὲ καὶ διδύμων ἀέθλων Μελίσσῳ

---

desunt omnes praeter BD retr.

Inscr. om. BD — παγκρατίῳ Böckh (Schol.): ἵπποις retr.

3 μεμῖχθαι Ahrens 7 εὐκλέων retr.: εὐκλεῶν — ὑμνῆσαι Heyne: ὑμνᾶσαι 8 ἀγανναῖς retr. — χαρίτεσσιν Er. Schmid: χαρίτεσ(σ)ι 9 ἄθλων Böckh

with [illegible]. lit. 'in connexion with' and 'by mea

'never-ending' 'disgusting' 'sickening' Nem. 1.65.

regard with awe & dread

froward

exalt. Ol. 12.19.

O. 8. 19.

feeding together: partner with. in. 'walked consistently, held on their way'

| manner. Fen.

'is wont to produce divers through changes at divers times'

'by favour of heaven' sc. many themes'

μοῖρα πρὸς εὐφροσύναν τρέψαι γλυκεῖαν
ἦτορ, ἐν βάσσαισιν Ἰσθμοῦ δεξαμένῳ στεφάνους, τὰ δὲ κοίλᾳ λέοντος
ἐν βαθυστέρνου νάπᾳ κάρυξε Θήβαν

Ἐπ. α'.

ἱπποδρομίᾳ κρατέων. ἀνδρῶν δ' ἀρετὰν
σύμφυτον οὐ κατελέγχει.
ἴστε μὰν Κλεωνύμου
δόξαν παλαιὰν ἅρμασιν·
καὶ ματρόθε Λαβδακίδαισι ξύννομοι πλούτου διέστειχον τετραοριᾶν πόνοις.
αἰὼν δὲ κυλινδομέναις ἁμέραις ἄλλ' ἄλλοτ' ἐξάλλαξεν· ἄτρωτοί γε μὰν παῖδες θεῶν.

Στρ. β'. [IV.]

ἔστι μοι θεῶν ἕκατι μυρία παντᾷ κέλευθος·
ὦ Μέλισσ', εὐμαχανίαν γὰρ ἔφανας Ἰσθμίοις
ὑμετέρας ἀρετὰς ὕμνῳ διώκειν·
αἷσι Κλεωνυμίδαι θάλλοντες αἰεὶ
σὺν θεῷ, θνατὸν διέρχονται βιότου τέλος. ἄλλοτε δ' ἀλλοῖος οὖρος
πάντας ἀνθρώπους ἐπαΐσσων ἐλαύνει.

Ἀντ. β'.

τοὶ μὲν ὦν Θήβαισι τιμάεντες ἀρχᾶθεν λέγονται
πρόξενοί τ' ἀμφικτιόνων κελαδεννᾶς τ' ὀρφανοὶ
ὕβριος· ὅσσα δ' ἐπ' ἀνθρώπους ἄηται
μαρτύρια φθιμένων ζωῶν τε φωτῶν
ἀπλέτου δόξας, ἐπέψαυσαν κατὰ πᾶν τέλος· ἀνορέαις δ' ἐσχάταισιν

---

desunt omnes praeter BD retr.

10 εὐφροσύνην B 11 βάσαισιν B 12 βαθυστέρνῳ e Schol. Bergk — κήρυξε B 15 Κλειωνύμου retr. 17 ματρόθε Er. Schmid: ματρόθεν — Λαβδακίδαισι ξύννομοι Mommsen: Λαβδακίδαισιν σύννομοι Böckh: Λαβδακίδαισι σύννομοι — διέστειχον G. Hermann: διέστιχον 18 ἄλλοτ'] ἄλλοι τ' B 19 idem carmen continuant D (diorth.²) retr.: novum carmen ordiuntur Romana et (B?) Schol. Metr. in B — ἔστι δή μοι retr. — παντᾷ Mommsen: παντᾶ D retr.: πάντα B 20 ὦ Μέλισ' εὐμηχ. B — εὐμαχανίας Schol.? — ἔφανας (retr.?) Heyne: ἔφανες BD (retr.?) 20 sq. Ἰσθμίοις ὑμετέρας ἀρετὰς B: ἀρετὰς (om. Ἰσθ. ὑμ.) D: ἀρετὰς . εὐφροσύναισι κλυταῖς retr. 23 βιότου Schneidewin et Donaldson: τὸ βίου retr.: βίου BD 26 πρόξ.] καὶ ξένοι? — κελαδενᾶς B 29 ἀνορέας (apogr. D) retr.



24. Cf. Prom. v. ἥκω δολιχῆς τέρμα κελεύθου διαμειψάμενος.
17. cf. ἴσνασι διὰ τεχνῶν διὰ μόχθων.

οἴκοθεν στάλαισιν ἅπτονθ' Ἡρακλείαις.

'Επ. β'.

καὶ μηκέτι μακροτέραν σπεύδειν ἀρετάν.
ἱπποτρόφοι τ' ἐγένοντο,
χαλκέῳ τ' Ἄρει ἅδον.
ἀλλ' ἁμέρᾳ γὰρ ἐν μιᾷ
τραχεῖα νιφὰς πολέμοιο τεσσάρων ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν·
νῦν δ' αὖ μετὰ χειμέριον ποικίλων μηνῶν ζόφον χθὼν
ὧτε φοινικέοισιν ἄνθησεν ῥόδοις

Στρ. γ'.

δαιμόνων βουλαῖς. ὁ κινητὴρ δὲ γᾶς Ὀγχηστὸν οἰκέων
καὶ γέφυραν ποντιάδα πρὸ Κορίνθου τειχέων,
τόνδε πορὼν γενεᾷ θαυμαστὸν ὕμνον
ἐκ λεχέων ἀνάγει φάμαν παλαιὰν
εὐκλέων ἔργων· ἐν ὕπνῳ γὰρ πέσεν· ἀλλ' ἀνεγειρομένα χρῶτα λάμπει,
Ἀωσφόρος θαητὸς ὣς ἄστροις ἐν ἄλλοις·

Ἀντ. γ'.

ἅ τε κεὶν γουνοῖς Ἀθανᾶν ἅρμα καρύξαισα νίκαν
ἔν τ' Ἀδραστείοις ἀέθλοις Σικυῶνος ὤπασεν.
τοιάδε τῶν τότ' ἐόντων φύλλ' ἀοιδῶν.
οὐδὲ παναγυρίων ξυνᾶν ἀπεῖχον
καμπύλον δίφρον, Πανελλάνεσσι δ' ἐριζόμενοι δαπάνᾳ χαῖρον ἵππων.

'Επ. γ'.

ἔστιν δ' ἀφάνεια τύχας καὶ μαρναμένων,

---

desunt omnes praeter BD (inde a vs. 37 med. diorth.²) retr.
**32** τ'] δ' retr. **33** χαλκέῳ retr.: χαλκείῳ BD — τ' B: om. D retr. — ἅδον Moreliana: ἅδον Stephanus: ἕαδον retr.: ἅδων (apogr. D): aut ἆδον aut ᾄδων D: aut ἆδον aut ἇδον B **36** ὧτε D retr.: ἅτε B: ᾇτε Pauw — φοινικείοισιν retr. — ἄνθησεν B: ἄνθησαν e Schol. (Chrysippus?) Ceporinus: ἄνθος D **37** δὲ] γε retr. **39** πορῶν B (D?) **41** εὐκλέων Er. Schmid: εὐκλεῶν **42** Ἀωσφ. retr.: Ἁωσφ. B diorth.²: Ἑωσφ. D — ὣς diorth.²: ὡς BD **43** κεὶν B: κὴν D diorth.²: κὰν Böckh — Ἀθανᾶν Heyne: Ἀθηνᾶν — καρύξ. Aldina: κηρύξ. — νίκαν retr.: νικᾶν diorth.²: utrumque BD (Schol.) **45** ἀοιδῶν B: ἀοιδᾶν diorth.² (ἀοιδὰν D): utrumque Schol. **46** πανηγυρίων D — ξυνῶν B **49** καὶ μαρναμένων cum sqq. coni. retr.

'found favour with'

Fame 1. family 2. then abstract. confused later Dam.

She (Fame) who indeed.

metaph. from φυλλοβολία. Pyth. 9.124.

'all of us who assemble for great games'.

'did she give like wreaths [of song] (refer. στονδε 39) from the bards of those days'

e, sharp practices' Fen.

(surely ye know of the valiant heart of murderous Aj. for his having transfixed about dawn which on his own sword, he
thrown on' popular ἔχειν in pass. sense is always absolute: point thrust ῷ and ᾗ 91 [death result of his loss: Pind. says
s of opinions after death]

'right through the world'

'by the wand of his lays divine': κατὰ ῥάβδον, 'branch symbol of tradition' Jebb.
t' (laurel wand marked suppliant & minister of Apollo & Muses: suggested metaphor for 'continuous strip of song': epic
n 'in the course of his epic poems' or 'according to the measure': L.S.

'such as Homer for Aias' Kindle
Pyth. 4. 24.

be blamed, scorned

want to get a good (καλ.) backward throw.' Fen.

πρὶν τέλος ἄκρον ἱκέσθαι·
τῶν τε γὰρ καὶ τῶν διδοῖ·
καὶ κρέσσον᾽ ἀνδρῶν χειρόνων
ἔσφαλε τέχνα καταμάρψαι. ἴστε μὰν Αἴαντος ἀλκὰν
φοίνιον, τὰν ὀψίᾳ
ἐν νυκτὶ ταμὼν περὶ ᾧ φασγάνῳ μομφὰν ἔχει παίδεσσιν
Ἑλλάνων ὅσοι Τρώανδ᾽ ἔβαν·

Στρ. δ′.

ἀλλ᾽ Ὅμηρός τοι τετίμακεν δι᾽ ἀνθρώπων, ὃς αὐτοῦ
πᾶσαν ὀρθώσαις ἀρετὰν κατὰ ῥάβδον ἔφρασεν
θεσπεσίων ἐπέων, λοιποῖς ἀθύρειν.
τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει,
εἴ τις εὖ εἴπῃ τι, καὶ πάγκαρπον ἐπὶ χθόνα καὶ διὰ
πόντον βέβακεν
ἐργμάτων ἀκτὶς καλῶν ἄσβεστος αἰεί.

Ἀντ. δ′.

προφρόνων Μοισᾶν τύχοιμεν, κεῖνον ἅψαι πυρσὸν ὕμνων
καὶ Μελίσσῳ, παγκρατίου στεφάνωμ᾽ ἐπάξιον,
ἔρνεϊ Τελεσιάδα. τόλμᾳ γὰρ εἰκὼς
θυμὸν ἐριβρεμετᾶν θηρῶν λεόντων
ἐν πόνῳ· μῆτιν δ᾽ ἀλώπηξ, αἰετοῦ ἅ τ᾽ ἀναπιτναμένα
ῥόμβον ἴσχει.
χρὴ δὲ πᾶν ἔρδοντ᾽ ἀμαυρῶσαι τὸν ἐχθρόν.

Ἐπ. δ′.

οὐ γὰρ φύσιν Ὠαριωνείαν ἔλαχεν·
ἀλλ᾽ ὀνοτὸς μὲν ἰδέσθαι,
συμπεσεῖν δ᾽ ἀκμᾷ βαρύς.
καίτοι πότ᾽ Ἀνταίου δόμους

desunt omnes praeter BD diorth.² (retr.)

**50** om. ἄκρον B (Schol.?) **51** διδοῖ diorth.²: διδοῖ τέλος BD **53** ἔσφαλλε diorth.²: — τέχνᾳ B diorth.² (Schol.): τέχνα D — καταμάρψαι e Schol. Mommsen: καταμάρψαισ᾽ — μὰν et μᾶν B: μὰν (lemma B) diorth.²: καὶ D — ἀλκὰν B: ἀλκὴν D diorth.² **54** Τρώανδ᾽ Morelina: Τρώανδ᾽ B diorth.²: Τρώωνδ᾽ D **56** ῥᾶβδον D **58** ἕρποι D **60** ἐργμ. diorth.²: ἐργμ. D: utrumque B **63** εἰκὼς] εἰκὼν vitium Romanae: εἴκων Meineke **64** θηρῶν (Schol.) Heyne: θηρᾷ (unus Schol.?) G. Hermann: θηρᾶν **66** ἔρδ. D diorth.: ἕρδ. B retr. — -τ᾽ ἀμ.] -τα μ. Böckh **69** ἀκμᾷ Pauw: αἰχμᾷ

*Θηβᾶν ἀπὸ Καδμεϊᾶν μορφὰν βραχύς, ψυχὰν δ' ἄκαμ-*
*πτος, προσπαλαίσων ἦλθ' ἀνὴρ*
*τὰν πυροφόρον Λιβύαν, κρανίοις ὄφρα ξένων ναὸν Πο-*
*σειδάωνος ἐρέφοντα σχέθοι,*

*Στρ. ε'.*

*υἱὸς Ἀλκμήνας· ὃς Οὔλυμπόνδ' ἔβα, γαίας τε πάσας*
*καὶ βαθυκρήμνου πολιᾶς ἁλὸς ἐξευρὼν θέναρ,*
*ναυτιλίαισί τε πορθμὸν ἁμερώσαις.*
*νῦν δὲ παρ' Αἰγιόχῳ κάλλιστον ὄλβον*
*ἀμφέπων ναίει, τετίματαί τε πρὸς ἀθανάτων φίλος,*
*Ἥβαν τ' ὀπυίει,*
*χρυσέων οἴκων ἄναξ καὶ γαμβρὸς Ἥρας.*

*Ἀντ. ε'.*

*τῷ μὲν Ἀλεκτρᾶν ὕπερθεν δαῖτα πορσύνοντες ἀστοὶ*
*καὶ νεόδμητα στεφανώματα βωμῶν αὔξομεν*
*ἔμπυρα χαλκοαρᾶν ὀκτὼ θανόντων,*
*τοὺς Μεγάρα τέκε οἱ Κρεοντὶς υἱούς·*
*τοῖσιν ἐν δυθμαῖσιν αὐγᾶν φλὸξ ἀνατελλομένα συνεχὲς*
*παννυχίζει*
*αἰθέρα κνισάεντι λακτίζοισα καπνῷ,*

*Ἐπ. ε'.*

*καὶ δεύτερον ἆμαρ ἐτείων τέρμ' ἀέθλων*
*γίνεται, ἰσχύος ἔργον.*
*ἔνθα λευκωθεὶς κάρα*
*μύρτοις ὅδ' ἀνὴρ διπλόαν*
*νίκαν ἀνεφάνατο καὶ παίδων τρίταν πρόσθεν, κυβερνα-*
*τῆρος οἰακοστρόφου*

---

desunt omnes praeter BD diorth.² (retr.)

71 *Καδμεϊᾶν* Er. Schmid: *Καδμειᾶν* BD: *Καδμειϊᾶν* diorth.² — *ἄκαμπτος* D diorth.² (Schol.): *ἄκομπος* B  72 *ξένων* diorth.²: *ξείνων* BD  76 *Αἰγιόχῳ* diorth.²: *αἰγιόχῳ Διῒ* BD  77 *ὀπυίει* Ceporinus: *ὀπήει* D: *ὀπύει* B diorth.²:  80 *νεόδμητα* Mommsen: *νεόδματα*  82 *τέκε οἱ* Moreliana: *οἱ τέκε* — *Κρειοντὶς* Er. Schmid  83 *δυθμαῖσιν* BD: *δυσμαῖσιν* (apogr. D) diorth.² — *φλόξ τις ἀντελλ.* diorth.²  84 *αἰθέρα*] *ἀέρα* apud Plutarchum: utrumque Schol. — *κνισάεντι* Mommsen: *κνισᾶντι* Ceporinus: *κνισσᾶντι* G. Hermann: *κνισάντι*  85 *τέρμ' ἀέθλων* Er. Schmid: *ἀέθλων τέρμα*  86 *γίγνεται* Böckh  89 *καὶ παίδων τρίταν* (de sententia Chrysippi) Mommsen: *παίδων τρίταν* BD: *παίδων τὴν τρίταν* diorth.²: *παίδων τε τρίταν* et *παίδων καὶ τρίταν* G. Hermann — *πρόσθεν* cum sqq. coni. diorth.²

*γνώμᾳ πεπιθὼν πολυβούλῳ. σὺν Ὀρσέᾳ δέ νιν κωμά-*
*ξομαι, τερπνὰν ἀποστάζων χάριν.*

desunt omnes praeter BD diorth.² (retr.)
90 *κωμάξομαι* D (Schol.): *κωμάζομαι* B? diorth.² — *ἀποστάζων* B: *ἐπιστάζων* diorth.² (Schol.): *ἐπιστοχάζων* D

---

## ΙΣΘΜΙΟΝΙΚΑΙ Δ΄. [Ε΄.]

# ΦΥΛΑΚΙΔᾼ ΑΙΓΙΝΗΤῌ

### ΠΑΓΚΡΑΤΙῼ.

**Strophae.**

–́ ⏑ – ⏓ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
⏖́ ⏑ – ⏓ –́ ⏑ – ⏓ –́ ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓ | –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
⏖́ ⏑ – – –́ ⏑ – – | –́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ – ⏓

**Epodi.**

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – –́ ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ –
⏖́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏓

*Στρ. α΄.*

*Μᾶτερ Ἀελίου πολυώνυμε Θεία,*
*σέο ἕκατι καὶ μεγασθενῆ νόμισαν*

desunt omnes praeter BD diorth.² (retr.)
Inscr. om. B?D
1 *Ἁλίου* Moreliana 2 *σέο ἕκατι* (Schol.) Bergk: *σέο γ᾽ ἕκατι*

χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων· | καὶ γὰρ ἐριζόμεναι
νᾶες ἐν πόντῳ καὶ ὑφ' ἅρμασιν ἵπποι
διὰ τεάν, ὤνασσα, τιμὰν | ὠκυδινήτοις ἐν ἁμίλλαισι
θαυμασταὶ πέλονται·

Ἀντ. α'.

ἔν τ' ἀγωνίοις ἀέθλοισι ποθεινὸν
κλέος ἔπραξεν, ὅντιν' ἀθρόοι στέφανοι
χερσὶ νικάσαντ' ἀνέδησαν ἔθειραν | ἢ ταχυτᾶτι ποδῶν.
κρίνεται δ' ἀλκὰ διὰ δαίμονας ἀνδρῶν.
δύο δέ τοι ζωᾶς ἄωτον | μοῦνα ποιμαίνοντι τὸν ἄλπνι-
στον εὐανθεῖ σὺν ὄλβῳ,

Ἐπ. α'.

εἴ τις εὖ πάσχων λόγον ἐσλὸν ἀκούῃ.
μὴ μάτευε Ζεὺς γενέσθαι· πάντ' ἔχεις,
εἴ σε τούτων μοῖρ' ἐφίκοιτο καλῶν.
θνατὰ θνατοῖσι πρέπει.
τὶν δ' ἐν Ἰσθμῷ διπλόα θάλλοισ' ἀρετά,
Φυλακίδα, κεῖται, Νεμέᾳ δὲ καὶ ἀμφοῖν,
Πυθέᾳ τε, παγκρατίου. τὸ δ' ἐμὸν
οὐκ ἄτερ Αἰακιδᾶν κέαρ ὕμνων γεύεται·
σὺν Χάρισιν δ' ἔμολον Λάμπωνος υἱοῖς

Στρ. β'.

τάνδ' ἐς εὔνομον πόλιν. εἰ δὲ τέτραπται
θεοδότων ἔργων κέλευθον ἂν καθαράν,
μὴ φθόνει κόμπον τὸν ἐοικότ' ἀοιδᾷ | κιρνάμεν ἀντὶ
πόνων.
καὶ γὰρ ἡρώων ἀγαθοὶ πολεμισταὶ
λόγον ἐκέρδαναν, κλέονται | δ' ἔν τε φορμίγγεσσιν ἐν αὐ-
λῶν τε παμφώνοις ὁμοκλαῖς

Ἀντ. β'.

μυρίον χρόνον· μελέταν δὲ σοφισταῖς

---

desunt omnes praeter BD diorth.[2] (retr.)

**4** ὑφ' e Schol. Bergk: om. D: ἐν B diorth.[2] **5** ὠκυδινήτοις Mommsen: ὠκυδινάτοις **7** ἔπραξαν (unus Schol.?) **8** νικήσαντ' D **10** δύω (B infra) — μούνα B — τὸν ἄλπνιστον diorth.[2]: τὸν ἀνέλπιστον BD (Schol.; ita etiam apud grammaticos quosdam): ἀνέλπιστον (om. τὸν) Ceporinus: (τὸν) ἄλγιστον unus Schol.? **11** ἀκούῃ B: ἀκούσῃ **14** θνατοῖσι diorth.[2]: θνατοῖς **19** δ' ἔμολον] πάρα καὶ Schol.? **24** ἐπέρδανον diorth.[2]

blooming fresh goodly

With all tones, many-toned, full-toned

Isth. 3. 1.

living before me, utter. proclaim A. as their..

*Διὸς ἕκατι πρόσβαλον σεβιζόμενοι·*
*ἐν μὲν Αἰτωλῶν θυσίαισι φαενναῖς | Οἰνεΐδαι κρατεροί,*
*ἐν δὲ Θήβαις ἱπποσόας Ἰόλαος*
*γέρας ἔχει, Περσεὺς δ᾽ ἐν Ἄργει, | Κάστορος δ᾽ αἰχμὰ*
*Πολυδεύκεος τ᾽ ἐπ᾽ Εὐρώτα ῥεέθροις.*

*Ἐπ. β΄.*

*ἀλλ᾽ ἐν Οἰνώνᾳ μεγαλήτορες ὀργαὶ*
*Αἰακοῦ παίδων τε· τοὶ καὶ σὺν μάχαις*
*δὶς πόλιν Τρώων πράθον, ἑσπόμενοι*
*Ἡρακλῆϊ πρότερον,*
*καὶ σὺν Ἀτρείδαις. ἔλα νῦν μοι πεδόθεν·*
*λέγε, τίνες Κύκνον, τίνες Ἕκτορα πέφνον,*
*καὶ στράταρχον Αἰθιόπων ἄφοβον*
*Μέμνονα χαλκοάραν· τίς ἄρ᾽ ἐσλὸν Τήλεφον*
*τρῶσεν ἑῷ δορὶ Καΐκου παρ᾽ ὄχθαις.*

*Στρ. γ΄.*

*τοῖσιν Αἴγιναν προφέρει στόμα πάτραν*
*διαπρεπέα νᾶσον· τετείχισται δὲ πάλαι*
*πύργος ὑψηλαῖς ἀρεταῖς ἀναβαίνειν. | πολλὰ μὲν ἀρτιεπὴς*
*γλῶσσά μοι τοξεύματ᾽ ἔχει περὶ κείνων*
*κελαδέειν· καὶ νῦν ἐν Ἄρει | μαρτυρήσαι κεν πόλις Αἴαντος*
*ὀρθωθεῖσα ναύταις*

*Ἀντ. γ΄.*

*ἐν πολυφθόρῳ Σαλαμὶς Διὸς ὄμβρῳ*
*ἀναρίθμων ἀνδρῶν χαλαζάεντι φόνῳ.*
*ἀλλ᾽ ὅμως καύχημα κατάβρεχε σιγᾷ· | Ζεὺς τά τε καὶ τὰ νέμει,*
*Ζεὺς ὁ πάντων κύριος. ἐν δ᾽ ἐρατεινῷ*

---

**desunt omnes praeter BD diorth.² (retr.)**

**26** *πρόσβαλλον* retr. — post *σεβιζ.* colo distingu. Moreliana (Schol.): plene B diorth.²: non dist. D **27** *Οἰνεΐδαι* Er. Schmid: *Οἰνεῖδαι* BD: *Οἰνϊεῖδαι* diorth.² — *κρατ.* diorth.²: *καρτ.* BD **28** *ἱπποσόας* diorth.²: *ἱπποσίας* BD **29** *Πολυδεύκευς* Pauw **33** *Ἡρακλῆϊ* diorth.²: *Ἡρακλεῖ* BD **34** *Ἀτρείδαις* diorth.²: *Ἀτρείδαισιν* BD **37** *ἄρ᾽* Er. Schmid: *γὰρ* **38** *τρῶσαι* bis apud Tzetzen — *Καΐκου*] *Μυσίαις* G. Hermann — *ὤχθαις* diorth.²: **40** *πάλαι*] *πάλιν* B **43** *κελαδέειν* Benedictus: *κελαρύσαι* Bergk: *κελαδῆσαι* — *Ἄρει* Er. Schmid: *Ἄρεϊ* **45** *ἰσαρίθμων* e Schol. Bergk **46** *κατέβραχε* (D) Aldina — *τά τε καὶ τὰ* Böckh: *τὰ δε καὶ τὰ* B: *τάδε καὶ τὰ* D diorth.²: *τάδε καὶ τάδε* retr.

*μέλιτι καὶ τοιαίδε τιμαὶ | καλλίνικον χάρμ᾽ ἀγαπάζοντι.*
*μαρνάσθω τις ἔρδων*

Ἐπ. γ΄.

*ἀμφ᾽ ἀέθλοισιν γενεὰν Κλεονίκου*
*ἐκμαθών· οὔτοι τετύφλωται μακρὸς*
*μόχθος ἀνδρῶν· οὐδ᾽ ὁπόσαι δαπάναι*
*ἐλπίδων ἔκνισ᾽ ὄπιν.*
*αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις*
*Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι,*
*χερσὶ δεξιόν, νόῳ ἀντίπαλον.*
*λάμβανέ οἱ στέφανον, φέρε δ᾽ εὔμαλλον μίτραν,*
*καὶ πτερόεντα νέον σύμπεμψον ὕμνον.*

desunt omnes praeter BD diorth.² (retr.)

**48** *τοιαίδε τιμαὶ* D diorth.² (*τοιαῖδε τιμαὶ* B): *τοιᾷδε τιμᾷ* Hartung: utrumque Schol. — *τις* (Schol.) diorth.²: *δέ τις* BD — *ἔρδων*] *ἕρδων* D diorth.²: utrumque B **52** *ἐλπίδων* B diorth.²: *ἐλπίζων* retr.: *ἐκπίδων* D — *ἔκνισ᾽ ὄπιν* Ceporinus: *ἔκνιξ᾽ ὀπί* Aristarchus: *ἔκνιξ᾽ ὄπιν* (etiam apud Schol.) **54** *Φυλακίδᾳ* Er. Schmid: *Φυλακίδα* **55** *δεξιόν* cum antecc. iung. B diorth.² (Schol.): cum sqq. G. Hermann **57** *νέον* B: *νόον* D: *νόῳ* diorth.²

---

## ΙΣΘΜΙΟΝΙΚΑΙ Ε΄. [ϛ΄.]

# ΦΥΛΑΚΙΔΑι ΑΙΓΙΝΗΤΗι

[ΠΑΓΚΡΑΤΙΩι.]

### Strophae.

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ ⏓
⏕́ ⏑ – – –́ ⏑ – – ⏕́ ⏑ –

desunt omnes praeter BD diorth.² (retr.)

Inscr. om. BD — *Φυλ. αἰγ. παγκρ.* Böckh: *Φυλακίδᾳ Πυθέᾳ Εὐθυμένει μάτρωϊ, Ἴσθμια.* diorth.²

the substantive clause is subject to ἔκνιοι. in

question of .. fretted away their zeal in · reverence, regard for | games, or deities shown in games
spirits their hopes.' frequentat. aor. Fan.

Footrace; contest

'if at the same time'

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ – ⏒

### Epodi.

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – | – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏓

*Στρ. α΄.*

*Θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου*
*δεύτερον κρατῆρα Μοισαίων μελέων*
*κίρναμεν Λάμπωνος εὐάεθλου γενεᾶς ὕπερ, ἐν Νεμέᾳ μὲν πρῶτον, ὦ Ζεῦ,*
*τὶν ἄωτον δεξάμενοι στεφάνων,*
*νῦν αὖτ' ἐν Ἰσθμῷ, δεσπότᾳ*
*Νηρεΐδεσσί τε πεντήκοντα, παίδων ὁπλοτάτου*
*Φυλακίδα νικῶντος. εἴη δὲ τρίτον*
*σωτῆρι πορσαίνοντας Ὀλυμπίῳ Αἴγιναν κατὰ*
*σπένδειν μελιφθόγγοις ἀοιδαῖς.*

*Ἀντ. α΄.*

*εἰ γάρ τις ἀνθρώπων δαπάνᾳ τε χαρεὶς*
*καὶ πόνῳ πράσσει θεοδμήτους ἀρετάς,*
*σύν τέ οἱ δαίμων φυτεύει δόξαν ἐπήρατον· ἐσχατιαῖς ἤδη πρὸς ὄλβου*
*βάλλετ' ἄγκυραν θεότιμος ἐών.*
*τοίαισιν ὀργαῖς εὔχεται*
*ἀντιάσαις ἀΐδαν γῆράς τε δέξασθαι πολιὸν*
*ὁ Κλεονίκου παῖς· ἐγὼ δ' ὑψίθρονον*

---

desunt omnes praeter BD diorth.[2] (retr.)

2 *κρητῆρα* G. Hermann — *Μοισαίων* Böckh: *μοισαίων* Heyne: *μοισέων* 3 *εὐαέθλου* Mommsen: *εὐάθλου* 4 *τὶν* BD diorth.[2] (Schol.): *τίν γ'* Pauw 5 *αὖτ' ἐν Ἰσθμῷ, δεσπότᾳ* e Schol. Ceporinus: *αὖτ' ἐν Ἰσθμοῦ δ.* BD diorth.[2]: *αὖτε Ἰσθμοῦ δ.* G. Hermann: *αὖτε δ'* et *αὖτις* (hoc in diorth.[2] Schol.?) *Ἰσθμοῦ δ.* Böckh 6 *Νηρηΐδ.* B 8 *προσαίνοντας* diorth.[2] — *κατὰ* Mommsen: *κάτα* Böckh: *κατα* BD diorth.[2]: utrumque Schol. 11 *θεοδμήτους* Mommsen: *θεοδμάτους* 12 *ἐσχατιαῖς* B Schol.: *ἐσχατιᾶς* Ro.: *ἐσχατιὰς* (Paraphr.?) D diorth.[2] 15 *ἀντιάσας* D

*Κλωθὼ κασιγνήτας τε προσεννέπω ἕσπεσθαι κλυταῖς*
*ἀνδρὸς φίλου Μοίρας ἐφετμαῖς.*

Ἐπ. α'.

*ὔμμε τ', ὦ χρυσάρματοι Αἰακίδαι,*
*τέθμιόν μοι φαμὶ σαφέστατον ἔμμεν*
*τάνδ' ἐπιστείχοντα νᾶσον ῥαινέμεν εὐλογίαις.*
*μυρίαι δ' ἔργων καλῶν | τέτμηνθ' ἑκατόμπεδοι ἐν σχερῷ κέλευθοι*
*καὶ πέραν Νείλοιο παγᾶν καὶ δι' Ὑπερβορέους·*
*οὐδ' ἔστιν οὕτω βάρβαρος οὔτε παλίγγλωσσος πόλις,*
*ἅτις οὐ Πηλέος ἀΐει κλέος ἥρωος, εὐδαίμονος γαμβροῦ θεῶν,*

Στρ. β'.

*οὐδ' ἅτις Αἴαντος Τελαμωνιάδα*
*καὶ πατρός· τὸν χαλκοχάρμαν ἐς πόλεμον*
*ἄγε σὺν Τιρυνθίοισι πρόφρονα σύμμαχον ἐς Τρωΐαν, ἥρωσι μόχθον,*
*Λαομεδοντειᾶν ὑπὲρ ἀμπλακιᾶν*
*ἐν ναυσὶν Ἀλκμήνας τέκος.*
*εἷλε δὲ Περγαμίαν, πέφνεν δὲ σὺν κείνῳ Μερόπων*
*ἔθνεα, καὶ τὸν βουβόταν οὔρεϊ ἶσον*
*Φλέγραισιν εὑρὼν Ἀλκυονῆ σφετέρας οὐ φείσατο*
*χερσὶν βαρυφθόγγοιο νευρᾶς*

Ἀντ. β'

*Ἡρακλέης. ἀλλ' Αἰακίδαν καλέων*
*ἐς πλόον [τοῦτον] κύρησεν δαινύμενον.*
*τὸν μὲν ἐν ῥινῷ λέοντος στάντα κελήσατο νεκταρέαις σπονδαῖσιν ἄρξαι*

---

desunt omnes praeter BD diorth.² (retr.)

**17** *ἕσπεσθαι κλυταῖς* Pauw: *σπέσθαι κλυταῖς* (Schol.?) BD: *σπέσθαι κλυταῖσιν* diorth.² **18** *ὔμμε* B? diorth.²: *ὕμμε* B?: *ὑμέ* D **20** *ἔμμεν* Böckh: *εἶναι* **21** *ἐπιστείχοντι* Schol.? (a manu recenti in B invectum) **22** *ἐν χερῷ* diorth.² **23** *πέραν Νείλοιο* D: *πέρανειλοιο* B: *πέρα Νείλοιο* diorth.² — *παγῶν* D diorth.² **24** *οὔτε*] *οὐδὲ* Schol. — *παλίγλωσσος* B **25** *Πηλέος* D diorth.²: *Πηλέως* B — *ἀΐει* e Schol. G. Hermann: *ἀΰει* **28** *Τρωΐαν* Böckh: *Τροΐαν* Er. Schmid: *Τροίαν* **29** *Λαομεδοντιᾶν* (*-τειᾶν* Bergk) *ὑπὲρ ἀμπλακιᾶν* e Schol. Kayser: *Λαομεδοντίαν ὑπὲρ ἀμπλακίαν* **31** *Μερόπων* (Schol. ined.) Böckh: *Μερόπων τ'* **32** *ἴσον* diorth.² **33** *Ἀλκυονῆ σφετέρας οὐ* e Schol. Heyne: *Ἀλκυονῆ, σφετέρας δ' οὐ* **36** *ἐς πλόον τοῦτον κύρησεν δαινύμενον* e Schol. Mommsen: *ἐς πλόον κήρυσσε δαινυμένων* B: *ἐς πλόον κύρησε δαινυμένων* D: *ἐς πλόον κύρησε πάντων δαινυμένων* diorth.²

'lond' f.

"battleground". in app. to Tewr. referring to both Troj. war

καρτεραίχμαν Ἀμφιτρυωνιάδαν,
ἄνδωκε δ᾽ αὐτῷ φέρτατος
οἰνοδόκον φιάλαν χρυσῷ πεφρικυῖαν Τελαμών,
ὁ δ᾽ ἀνατείναις οὐρανῷ χεῖρας ἀμάχους
αὔδασε τοιοῦτον ἔπος· Εἴ ποτ᾽ ἐμᾶν, ὦ Ζεῦ πάτερ,
θυμῷ θέλων ἀρᾶν ἄκουσας,

Ἐπ. β'.

νῦν σε, νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις
λίσσομαι παῖδα θρασὺν ἐξ Ἐριβοίας
ἀνδρὶ τῷδε ξεῖνον ἀμὸν μοιρίδιον τελέσαι·
τὸν μὲν ἄρρηκτον φυάν, | ὥσπερ τόδε δέρμα με νῦν περιπλανᾶται
θηρός, ὃν πάμπρωτον ἀέθλων κτεῖνά ποτ᾽ ἐν Νεμέᾳ·
θυμὸς δ᾽ ἑπέσθω. ταῦτ᾽ ἄρα οἱ φαμένῳ πέμψεν θεὸς
ἀρχὸν οἰωνῶν μέγαν αἰετόν· ἁδεῖα δ᾽ ἔνδον νιν ἔκνιξεν χάρις,

Στρ. γ'.

εἶπέν τε φωνήσαις ἅτε μάντις ἀνήρ·
Ἔσσεταί τοι παῖς ὃν αἰτεῖς, ὦ Τελαμών,
καί νιν ὄρνιχος φανέντος κέκλετ᾽ ἐπώνυμον εὐρυβίαν Αἴαντα, λαῶν
ἐν πόνοις ἔκπαγλον Ἐνυαλίου.
ὣς ἄρα εἰπὼν αὐτίκα
ἕζετ᾽. ἐμοὶ δὲ μακρὸν πάσας ἀναγήσασθ᾽ ἀρετάς·
Φυλακίδᾳ γὰρ ἦλθον, ὦ Μοῖσα, ταμίας
Πυθέᾳ τε κώμων Εὐθυμένει τε, τὸν Ἀργείων τρόπον.
εἰρήσεταί πα δ᾽ ἐν βραχίστοις.

---

desunt omnes praeter BD diorth.² (retr.)

**38** Ἀμφιτρυωνίδαν B **41** ἀνατείναις Böckh: ἀντείνας BD diorth.²: ἀντιτείνας retr. **42** τοιοῦτον e Schol. Heyne: τοιοῦτόν τι BD: τοιοῦτόν τ᾽ diorth.²: τοιοῦτόν γ᾽ Pauw — ἐμᾶν . . . ἀρᾶν e Schol. Mommsen: ἐμὰν . . . ἀρὰν **43** θυμῷ θέλων B diorth.²: θυμὸν θέλων D: θυμῷ ἐθέλων Böckh **44** θεσπεσίαις e Schol. Ceporinus: θεσπεσίαν **46** τῷδε diorth.²: τοῖδε B: τόνδε D — κεῖνον ἀμὸν D **47** με νῦν Stephanus: μίμνοι BD (diorth.² infra): μίμνον retr.: μίμνειν (diorth.² supra) **48** ἄθλων Moreliana **50** νιν Böckh: μιν **51** φωνάσαις Heyne **53** κέκλευ (κέκλε᾽) Lonicerus et Philippus Melanchthon — Εὐρυβίας (Juppiter)Schol.? **55** ἆρα Böckh: ἄρα **56** ἀναγήσ. Mingarelli: ἁγήσ. (ἀγήσ.) — ἀρετάς (diorth.² supra): ἀρετᾶς **57** Φυλακίδᾳ Moreliana: Φυλακίδα — γὰρ] γάρ τ᾽ Er. Schmid — ὦ BD: om. ὦ diorth.² **58** Πυθέᾳ diorth.²: Πυθέα — τὸν Ἀργ. τρ. cum antecc. coni. (e Schol.) Mommsen: cum sqq. (retr.) Ceporinus **59** πα δ᾽ ἐν e Schol. Mommsen: πᾳ(πα) κ᾽ ἐν D diorth.²: που κὲν B: πάντ᾽ ἐν et πᾶν ἐν Bergk

Ἀντ. γ'.

ἄραντο γὰρ νίκας ἀπὸ παγκρατίου
τρεῖς ἀπ' Ἰσθμοῦ, τὰς δ' ἀπ' εὐφύλλου Νεμέας,
ἀγλαοὶ παῖδές τε καὶ μάτρως· ἀνὰ δ' ἄγαγον ἐς φάος
οἵαν μοῖραν ὕμνων,
τὰν Ψαλυχιδᾶν δὲ πάτραν Χαρίτων
ἄρδοντι καλλίστᾳ δρόσῳ,
τόν τε Θεμιστίου ὀρθώσαντες οἶκον τάνδε πόλιν
θεοφιλῆ ναίοισι. Λάμπων δὲ μελέταν
ἔργοις ὀπάζων Ἡσιόδου μάλα τιμᾷ τοῦτ' ἔπος,
υἱοῖσί τε φράζων παραινεῖ,

Ἐπ. γ'.

ξυνὸν ἄστει κόσμον ἑῷ προσάγων·
καὶ ξένων εὐεργεσίαις ἀγαπᾶται,
μέτρα μὲν γνώμᾳ διώκων, μέτρα δὲ καὶ κατέχων·
γλῶσσα δ' οὐκ ἔξω φρενῶν. | φαίης κε Μένανδρον ἐν
ἀεθληταῖσιν ἔμμεν
Ναξίαν πέτραις ἐν ἄλλαις χαλκοδάμαντ' ἀκόναν.
πίσω σφε Δίρκας ἁγνὸν ὕδωρ, τὸ βαθύζωνοι κόραι
χρυσοπέπλου Μναμοσύνας ἀνέτειλαν παρ' εὐτειχέσιν Κά-
δμου πύλαις.

---

desunt omnes praeter BD diorth.² (retr.)
**61** τρεῖς· ἀπ' Ἰσθμου, τὰς δ' Bergk **62** μάτρως· ἀνὰ δ' Er. Schmid (Schol.?): μάτρωες· ἀν δ' — ἤγαγον retr. **63** Ψαλυχιδᾶν (Schol. unus?) Er. Schmid: Ψαλυχχαδᾶν G. Hermann: Ψαλυχιαδᾶν **66** ναίοισι G. Hermann: ναίουσι — δὲ D (Schol.?): δε B: om. diorth.² **69** ἄστει Er. Schmid: ἄστεϊ — post προσάγων plenius dist. D diorth.² (Schol.?): non dist. B **70** ξένων Er. Schmid: ξείνων **72** κε Μένανδρον ἐν Mommsen: κέ νιν ἀνδράσιν Heyne: κέ νιν ἄνδρα ἐν diorth.²: κέ νιν ἄνδρ' ἐν BD — ἀεθλ. (Er. Schmid) Bergk: ἀθλ. **73** χαλκεδάμαντ' D (diorth.²?) **74** σφε] γε in Etym. M. et apud Cram. in Anecd. Par.

# ΙΣΘΜΙΟΝΙΚΑΙ ϛ'. [Ζ'.]

# ΣΤΡΕΨΙΑΔΗι ΘΗΒΑΙΩι

## ΠΑΓΚΡΑΤΙΩι.

---

### Strophae.

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏒
⏒ –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ – –́ ⏑ ⏓
– –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ – –
– –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏒
x́ – –́ ⏑ ⏑ – ⏑ x́ – –́ ⏑ ⏑ – ⏑ – ⏒ x́ ⏑ –́ ⏑ ⏑ – | – –́ ⏑ – ⏑ ⏓

### Epodi.

x ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏓
– –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏒
– –́ ⏑ ⏑ – ⏑ –
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏒
x́ ⏒ –́ ⏑ ⏑ – ⏑ x́ ⏒ –́ ⏑ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – –́ ⏑
– –́ ⏑ ⏑ – x ⏑ –́ ⏑ ⏑ ⏓

*Στρ. α'.*

*Τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα,*
*καλῶν ἐπιχωρίων μάλιστα θυμὸν τεὸν*
*εὔφρανας; ἦ ῥα χαλκοκρότου πάρεδρον*
*Δαμάτερος ἀνίκ' εὐρυχαίταν*
*ἄντειλας Διόνυσον; ἢ χρυσῷ μεσονύκτιον νίφοντα δεξα-*
*μένα | τὸν φέρτατον θεῶν,*

*Ἀντ. α'.*

*ὁπότ' Ἀμφιτρύωνος ἐν θυρέτροις*
*σταθεὶς ἄλοχον μετῆλθεν Ἡρακλείοις γοναῖς;*
*ἢ' ἀμφὶ πυκναῖς Τειρεσίαο βουλαῖς;*

---

desunt omnes praeter BD diorth.² (retr.)
Inscr. om. BD
**1** *Θήβη* B? **3** *ἦ ῥα* Ceporinus: *ἦρα* B: *ἦ ῥὰ* **6** *θερέτροις* B **8** *ἤ'* Mommsen: *ἦ* Benedictus: *ἦτ'* Bergk: *ἦ ὅτ'* — *πυκναῖς Τειρ. βουλ.* Pauw: *Τειρ. πυκναῖς βουλ.* retr.: *Τειρ. πυκιναῖς βουλ.*

ἢ' ἀμφ' Ἰόλαον ἱππόμητιν;
ἢ Σπαρτῶν ἀκαμαντολογχᾶν; ἢ' ὅτε καρτερᾶς Ἄδραστον
ἐξ ἀλαλᾶς | ἄμπεμψας ὀρφανὸν

'Επ. α'.

μυρίων ἑτάρων ἐς Ἄργεϊ ἵππιον;
ἢ Δωρίδ' ἀποικίαν οὕνεκεν ὀρθῷ
ἔστασας ἐπὶ σφυρῷ
Λακεδαιμονίων, ἕλον δ' Ἀμύκλας
Αἰγεῖδαι σέθεν ἔκγονοι, μαντεύμασι Πυθίοις;
ἀλλὰ παλαιὰ γὰρ
εὕδει χάρις· ἀμνάμονες δὲ βροτοί,

Στρ. β'.

ὅ τι μὴ σοφίας ἄωτον ἄκρον
κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκηται ζυγέν.
κώμαζ' ἔπειτεν ἁδυμελεῖ σὺν ὕμνῳ
καὶ Στρεψιάδᾳ· φέρει γὰρ Ἰσθμοῖ
νίκαν παγκρατίου, σθένει τ' ἔκπαγλος, ἰδεῖν τε μορφά-
εις· ἄγει τ' ἀρετὰν | οὐκ αἴσχιω φυᾶς.

Ἀντ. β'.

φλέγεται δὲ ἰοπλόκοισι Μοίσαις,
μάτρωϊ θ' ὁμωνύμῳ δέδωκε κοινὸν θάλος,
χάλκασπις ᾧ πότμον μὲν Ἄρης ἔμιξεν,
τιμὰ δ' ἀγαθοῖσιν ἀντίκειται.
ἴστω γὰρ σαφές, ὅστις ἐν ταύτᾳ νεφέλᾳ χάλαζαν αἵμα-
τος πρὸ φίλας | πάτρας ἀμύνεται

'Επ. β'.

λοιγὸν ἀμπεπαλὼν ἐναντίῳ στρατῷ,

---

desunt omnes praeter BD diorth.[2] (retr.)
(inde a vs. 20 desunt etiam diorth.[2])

**9** ἤ' Mommsen: ἦ Er. Schmid: ἦτ' Bergk: ἦ ὅτ' **10** ἤ' Mommsen: ἦ — καρτ. B (D lemma): κρατ. — ἀμπ. D retr.: ἀππ. Schol.?: ἀν π. B: ἀνπ. diorth.[2] **11** ἑτάρων ἐς Er. Schmid: ἑταίρων εἰς — ἵππειον retr. **12** οὕνεκεν Mommsen: οὕνεκ' B? D: οὕνεκα diorth.[2]: οὕνεκεν Thiersch: ἀνίκ' ἄρ' Heyne **15** Αἰγεῖδαι B: αἰδεῖσθαι diorth.[2] — Πυθίοις diorth.[2]: Πυθίοισιν BD **16** γὰρ] μὲν apud Schol. Homeri **18** ὅ τι e Schol. Ceporinus: ὅτι BD diorth.[2] **19** ζευγέν B **20** κώμαξ' retr. — ἔπειτεν Pauw: ἔπειτ' ἄρ' retr.: ἔπειτ' ἐν BD (Schol.) **22** μορφάεις Ceporinus: μορφόεσσ' retr.: μορφάεσσ' (μορφάεσ') BD — ἀρετὰ retr. — αἰσχίω retr. (Schol. unus): αἴσχιον B: αἴσχθιον D **23** δὲ ἰοπλόκοισι Bergk: δ' ἰοβοστρύχοισι Er. Schmid: δ' ἰοπλοκάμοισι **24** μάτρωϊ θ' retr.: μάτρω θ' **25** Ἄρης B: ἄρ' D: ἆρ retr. **26** et τιμὰ et τιμᾷ B (Schol.) **27** πρὸ Er. Schmid: πρὸς **28** ἀμπεπαλὼν Mommsen: ἄντα φέρων e Schol. Thiersch: ἀμύνων

τῶν δ' οὐδὲν ἐστὶ σφυρὸν ὀρθὸν ἀνέστη. Callim. Artemis
σφαίζω δ' οὐκ αἰεὶ
ὀρθῷ δε βῆναι ποδί

'land' F.

.4.10.

ἀστῶν γενεᾷ μέγιστον κλέος αὔξων
ζώων τ' ἀπὸ καὶ θανών.
τὺ δέ, Διοδότοιο παῖ, μαχατὰν
αἰνέων Μελέαγρον, αἰνέων δὲ καὶ Ἕκτορα
Ἀμφιάρηόν τε,
εὐανθέ' ἀπέπνευσας ἁλικίαν

Στρ. γ'.

προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄριστοι
ἔσχον πολέμοιο νεῖκος ἐσχάταις ἐλπίσιν.
ἔτλαν δὲ πένθος οὐ φατόν· ἀλλὰ νῦν μοι
Γαιάοχος εὐδίαν ὄπασσεν
ἐκ χειμῶνος. ἀείσομαι χαίταν στεφάνοισιν ἁρμόσαις. ὁ
δ' ἀθανάτων | μὴ θρασσέτω φθόνος.

Ἀντ. γ'.

ὅ τι τερπνὸν ἐφάμερον διώκων,
ἕκαλος ἔπειμι γῆρας ἔς τε τὸν μόρσιμον
αἰῶνα. θνάσκομεν γὰρ ὁμῶς ἅπαντες·
δαίμων δ' ἄϊσος· τὰ μακρὰ δ' εἴ τις
παπταίνει, βραχὺς ἐξικέσθει χαλκόπεδον θεῶν ἕδραν. ὅ
τοι πτερόεις | ἔρριψε Πάγασος

Ἐπ. γ'.

δεσπόταν ἐθέλοντ' ἐς οὐρανοῦ σταθμοὺς
ἐλθεῖν μεθ' ὁμάγυριν Βελλεροφόνταν
Ζηνός. τὸ δὲ πὰρ δίκαν
γλυκὺ πικροτάτα μένει τελευτά.
ἄμμι δ', ὦ χρυσέᾳ κόμᾳ θάλλων, πόρε, Λοξία,
τεαῖσιν ἁμίλλαισιν
εὐανθέα καὶ Πυθόϊ στέφανον.

---

desunt omnes praeter BD retr.

**30** ἀπὸ D retr.: ἀπο B: ἄπο (Schol.?) Aldina **33** Ἀμφιάρηόν τε Böckh: Ἀμφιάραόν τε **36** ἐσχάταις ἐλπίσιν Romana: ἐσχάταις ἐπ' ἐλπίσιν (B) retr.: ἐσχάτοισιν ἐπ' ἐλπίδιν (sic) D **39** ἁρμόσαις Er. Schmid (unus Schol.): ἁρμόζων — θρασέτω retr. (lemma D) — post φθόνος plene disting. retr. (unus Schol.): commate BD (cum aliis Schol.) **40** ὅ τι retr. (unus Schol.): ὅτι BD (cum aliis Schol.) — ἐφάμερον BD (Schol.): ἐφάμερος (apogr. D) retr. **41** ἕκ. cum sqq. coni. B (Schol.): cum antecc. retr. — ἔπειμι B (Schol.): ἐπεί μιν D: ἔπεισι retr. **43** ἄϊσος Benedictus: ἄϊστος BD retr.: utrumque Schol. **44** ὅ τοι B (Schol.): ὅτι D retr. **51** Πυθόϊ Er. Schmid (apud Choeroboscum): Πύθιον G. Hermann: Πυθοῖ

# ΙΣΘΜΙΟΝΙΚΑΙ Ζ'. [Η'.]
## ΚΛΕΑΝΔΡΩι ΑΙΓΙΝΗΤΗι
### [ΠΑΓΚΡΑΤΙΩι.]



*Στρ. α'.*

*Κλεάνδρῳ τις ἁλικίᾳ τε λύτρον*
*εὔδοξον, ὦ νέοι, καμάτων,*
*πατρὸς ἀγλαὸν Τελεσάρχου παρὰ πρόθυρον ἰών, ἀνεγειρέτω*
*κῶμον, Ἰσθμιάδος τε νίκας ἄποινα, καὶ Νεμέᾳ·*
*ἀέθλων ὅτι κράτος ἐξεῦρε. τῷ καὶ ἐγώ, καίπερ ἀχνύμενος*
*θυμόν, αἰτέομαι χρυσέαν καλέσαι*
*Μοῖσαν. ἐκ μεγάλων δὲ πενθέων λυθέντες*
*μήτ᾽ ἐν ὀρφανίᾳ πέσωμεν | στεφάνων,*
*μήτε κάδεα θεράπευε· πανσάμενοι δ᾽ ἀπρήκτων κακῶν*
*γλυκύ τι δαμωσόμεθα καὶ μετὰ πόνον·*
*ἐπειδὴ τὸν ὑπὲρ κεφαλᾶς*

---

desunt omnes praeter BD (retr.)
Inscr. om. BD — *παγκρατίῳ* Heyne: om. (apogr. D) retr.
**1** *τις* B: *τίς* D retr. **3** *ἀνεγειρέτω* G. Hermann (unus Schol.): *ἀγειρέτω* **4** *κώμων* B — *καὶ Νεμέᾳ* cum antecc. coni. B retr. (unus Schol.): cum sqq. [D] Benedictus (unus Schol.) **7** *ἀπράκτων* (lemma D) Schneidewin

instant, pressing. present

καὶ Ταντάλου λίθον παρά τις ἔτρεψεν ἄμμι θεός,
Στρ. β'.
ἀτόλματον Ἑλλάδι μόχθον. ἀλλ' ἐ-
μοὶ χάρμα μὲν παροιχομένων
καρτερὰν ἔπαυσε μέριμναν· τὸ δὲ πρὸ ποδὸς ἄρειον ἀεὶ σκοπεῖν
χρῆμα πᾶν. δόλιος γὰρ αἰὼν ἐπ' ἀνδράσι κρέμαται,
ἑλίσσων βίου πόρον· ἰατὰ δ' ἐστὶ βροτοῖς σύν γ' ἐλευθερίᾳ
καὶ τά. χρὴ δ' ἀγαθὰν ἐλπίδ' ἀνδρὶ μέλειν·
χρὴ δ' ἐν ἑπταπύλοισι Θήβαις τραφέντα
Αἰγίνᾳ Χαρίτων ἄωτον | προνέμειν,
πατρὸς οὕνεκα δίδυμαι γένοντο θύγατρες Ἀσωπίδων
ὁπλόταται, Ζηνί τε ἅδον βασιλέϊ.
ὃ τὰν μὲν παρὰ καλλιρόῳ
Δίρκᾳ φιλαρμάτου πόλιος ᾤκισσεν ἁγεμόνα·
Στρ. γ'.
σέ δ' ἐς νᾶσον Οἰνοπίαν ἐνεγκὼν
κοιμᾶτο, δῖον ἔνθα τέκες
Αἰακὸν βαρυσφαράγῳ πατρὶ κεδνότατον ἐπιχθονίων· ὃ καὶ
δαιμόνεσσι δίκας ἐπείραινε· τοῦ μὲν ἀντίθεοι
ἀρίστευον υἱέες υἱέων τ' ἀρηΐφιλοι παῖδες ἀνορέᾳ
χάλκεον στονόεντ' ἀμφέπειν ὅμαδον·
σώφρονές τ' ἐγένοντο πινυτοί τε θυμόν.
ταῦτα καὶ μακάρων ἐμέμναντ' | ἀγοραί,

---

desunt omnes praeter BD retr. (inde a χρὴ δ' ἐν vs. 15 deest etiam B)
**10** καὶ Mommsen: γε B (etiam in Scholiis): τε D retr. **11** ἀλλ' ἐμοὶ] ἀλλά μοι Böckh **12** χάρμα e Schol. Mommsen: δεῖμα — παροιχόμενον Benedictus **13** ἀεὶ Er. Schmid: αἰεὶ — σκοπεῖν e Schol. Thiersch: om. reliqui **15** βίου retr.: βιότου BD — ἔστι Er. Schmid — τά B: ταόν D retr. — τραφέντα Er. Schmid: τραφέντ' D retr. **16** προσνέμειν Schol. **17** οὕνεκα D: οὕνεκα Aldina: utrumque retr. — θύγατρες retr.: θυγατέρες D — Ἀσωπίδων (Schol.?) Pauw: Ἀσωπίδων θ' D retr. **18** ὁπλόταται retr.: ὁπλότατα D — τε ἅδον Mommsen: τε ἅδον Er. Schmid: θ' ἕαδον retr.: θ' ἅδον D — βασιλέϊ Er. Schmid: βασιλῆϊ D retr. **20** ᾤκισσεν retr.: ᾤκισεν D — ἁγ. retr.: ἀγ. D **21** sq. ἔνεγκε, κοιμᾷ τε G. Hermann **22** κοιμᾶτο δῖαν, ἔνθα retr. **24** ἐπείραινε retr.: ἐπέραινε D **25** υἱέων] υἱῶν Er. Schmid — στονόεντ' retr.: στονόεντα τ' D — ὅμαδον retr.: ὄμαδον D

Ζεὺς ὅτ' ἀμφὶ Θέτιος ἀγλαός τ' ἔρισας, Ποσειδᾶν, γάμῳ,
ἄλοχον εὐειδέα θέλων ἑκάτερος
ἑὰν ἔμμεν· ἔρως γὰρ ἔχεν.
ἀλλ' οὔ σφιν ἄμβροτοι τέλεσαν εὐνὰν θεῶν πραπίδες,

Στρ. δ'.

ἐπεὶ θεσφάτων ἐπάκουσαν. εἶπε δ'
εὔβουλος ἐν μέσοισι Θέμις,
εἵνεκεν πεπρωμένον ἦν φέρτερον τεκέμεν ἄνακτα πατρὸς γόνον
ποντίαν θεόν, ὃς κεραυνοῦ τε κρέσσον ἄλλο βέλος
διώξει χερὶ τριόδοντός τ' ἀμαιμακέτου, Ζηνὶ μισγομέναν
ἢ Διὸς παρ' ἀδελφεοῖσιν. "ἀλλὰ τὰ μὲν
παύσατε· βροτέων δὲ λεχέων τυχοῖσα
υἱὸν εἰσιδέτω θανόντ' ἐν | πολέμῳ,
χεῖρας Ἄρεϊ τ' ἐναλίγκιον στεροπαῖσί τ' ἀκμὰν ποδῶν.
τὸ μὲν ἐμόν, Πηλέϊ γάμου θεόμορον
ὀπάσσαι γέρας Αἰακίδᾳ
ὄντ' εὐσεβέστατον φάτις Ἰωλκοῦ τράφειν πεδίον·

Στρ. ε'.

ἰόντων δ' ἐς ἄφθιτον ἄντρον εὐθὺς
Χείρωνος αὐτίκ' ἀγγελίαι·
μηδὲ Νηρέος θυγάτηρ νεικέων πέταλα δὶς ἐγγυαλιζέτω
ἄμμιν· ἐν διχομηνίδεσσιν δὲ ἑσπέραις ἐρατὸν

---

desunt omnes praeter D retr.

**27** ἔρισας D: ἐρίσας retr.: ἔρισαν (Schol.?) Benedictus — Ποσειδῶν retr. **28** εὐειδέ' ἐθέλων Böckh **29** ἔμμεν retr.: ἔμμεναι D — ἔχεν Er. Schmid: ἔλεν retr.: ἔσχεν D **31** ἐπάκουσαν retr.: ὄπ' ἄκουσαν olim G. Hermann: ἤκουσαν D — εἶπε δ'] εἶπεν δ' Thiersch: εἶπεν Böckh **33** οὕνεκεν Donaldson — τεκέμεν ἄν. π. γόνον Mommsen: γόνον ἄν. π. τεκεῖν D retr.: γόνον ἄρ' ἄν. π. τεκεῖν Er. Schmid: γόνον οἱ ἄν. π. τεκεῖν Böckh: πατέρος ἄν. γόνον τεκεῖν Ahlwardt **35** χερὶ retr.: χειρὶ D — Ζηνὶ retr.: Διῒ D: Δὶ (Διὶ) τε G. Hermann — Διός περ Mingarelli — ἀδελφοῖσιν Romana — τυχοῖσα Heyne: τυχοῦσα **36** θανόντ' retr.: θανόντα **37** χεῖρας Ἄρεϊ τ' ἐναλ. Böckh: Ἄρεϊ χέρας ἐναλ. retr.: Ἄρεϊ χεῖρας ἐναλ. D **38**sq. Πηλέϊ γάμου θεόμορον ὀπάσσαι γέρας Αἰακίδᾳ G. Hermann: Πηλέϊ θεόμορον ὀπάσαι γάμον Αἰακίδᾳ τὸ γέρας Böckh: Πηλεῖ θεόμοιρον (D θεάμοιρον) ὀπάσαι γάμου Αἰακίδα γέρας D retr. **40** ὄντε Romana — φάτις Ἰωλκοῦ Bothe: φάσ' Ἰαωλκοῦ retr.: φασὶν Ἰαωλκοῦ D **41** εὐθὺ G. Hermann **43** Νηρέος Böckh: Νηρέως **44** δὲ ἑσπ. retr.: δ' ἑσπ' BD

irresistible

λύοι κεν χαλινὸν ὑφ' ἥρωϊ παρθενίας. ὣς φάτο Κρονίδαις
ἐννέποισα θεά· τοὶ δ' ἐπὶ γλεφάροις
νεῦσαν ἀθανάτοισιν· ἐπέων δὲ καρπὸς
οὐ κατέφθινε. φαντὶ γὰρ ξύν' ἀλέγειν
καὶ γάμον Θέτιος ἄνακτα. καὶ νεαρὰν ἔδειξαν σοφῶν
στόματ' ἀπείροισιν ἀρετὰν Ἀχιλέος·
ὃ καὶ Μύσιον ἀμπελόεν
αἵμαξε Τηλέφου μέλανι ῥαίνων φόνῳ πεδίον,

Στρ. ϛ΄.

γεφύρωσέ τ' Ἀτρεΐδαισι νόστον,
Ἑλέναν τ' ἐλύσατο, Τρωΐας
ἶνας ἐκταμὼν δορί, ταί νιν ῥυοντό ποτε μάχας ἐναριμβρότου
ἔργον ἐν πεδίῳ κορύσσοντα, Μέμνονός τε βίαν
ὑπέρθυμον, Ἕκτορά τ', ἄλλους τ' ἀριστέας· οἷς δῶμα Φερσεφόνας
μανύων Ἀχιλεύς, οὖρος Αἰακιδᾶν,
Αἴγιναν σφετέραν τε ῥίζαν πρόφαινεν.
τὸν μὲν οὐδὲ θανόντ' ἀοιδαὶ | ἔλιπον,
ἀλλά οἱ παρά τε πυρὰν τάφον θ' Ἑλικώνιαι παρθένοι
στάν, ἐπὶ θρῆνόν τε πολύφαμον ἔχευαν.
ἔδοξ' ἆρα καὶ ἀθανάτοις,
ἐσλόν γε φῶτα καὶ φθίμενον ὕμνοις θεᾶν διδόμεν.

---

desunt omnes praeter BD retr. (inde a vs. 54 deest etiam B)

45 ἐννέπ. retr.: ἐνέπ. BD 46 ξύν' ἀλέγειν G. Hermann: συναλέγειν 47 γάμου B? retr.: γάμον B? D — ἄνακτα BD: ἄνακτε retr.: ἄνακτι Kayser: ἄνακτας Bergk — νεαρὰν ἔδειξαν Er. Schmid: νέαν ἀνέδειξαν Romana: νέ' ἀνέδειξαν BD (unus Schol.): νέαν ἔδειξαν (lemma D) retr. (unus Schol.) 48 στόματ' BD (Schol.): στόμα (lemma D): στόμασ' retr. — ἀπείροις Romana — Ἀχιλέος (unus retr.) Er. Schmid: Ἀχιλλέος D (retr.): Ἀχιλλέως B 51 Ἀτρεΐδαισι Benedictus: Ἀτρεάδαισι — νόστον B? D (Schol.): νοῦσον retr. 52 Τροΐας Er. Schmid 53 νιν Ahlwardt: μιν — ποτε retr.: ποτ' ἐκ BD 54 κορύσσοντα D (Schol.): κορύσσοντε retr. 55 Φερσ. Böckh: Περσ. — Ἀχιλεὺς retr.: Ἀχιλλεὺς D 56 οὐδὲ Böckh: οὔτε (etiam Schol.) — ἀοιδαὶ ἔλιπον (D Schol.): ἀοιδαὶ ἐλίποντ' retr.: ἀοιδαί γ' ἔλιπον G. Hermann 58 στάν Heyne: ἔσταν — ἔπι G. Hermann — ἔχεαν Er. Schmid 59 ἔδοξ' ἆρα καὶ e Schol. Schneidewin: ἔδοξ' ἄρα καὶ D (Schol.): ἔδοξ' ἄρα δ' (apogr. D): ἔδοξεν ἄρα δ' (retr.) Romana: ἔδοξεν δ' ἄρ' ἐν G. Hermann: ἔδοξ' ἆρα τόδ' Böckh 60 ἐσλόν γε Romana (e laciniis codicis B etiamtum integrioris?) (Schol.): ἐς λόγον γε D retr. — θεᾶν retr. (Schol.): θεὰν D

Στρ. ζ'.

*τὸ καὶ νῦν φέρει λόγον, ἔσσυταί τε*
*Μοισαῖον ἅρμα Νικοκλέος*
*μνᾶμα πυγμάχου κελαδῆσαι. γεραίρετέ νιν, ὃς Ἴσθμιον ἂν νάπος*
*Δωρίων ἔλαχεν σελίνων· ἐπεὶ περικτίονας*
*ἐνίκασε δή ποτε καὶ κεῖνος ἄνδρας ἀφύκτῳ χερὶ κλονέων.*
*τὸν μὲν οὐ κατελέγχει κριτοῦ γενεὰ*
*πατραδελφεοῦ· ἁλίκων τῷ τις ἁβρὸν*
*ἀμφὶ παγκρατίου Κλεάνδρῳ | πλεκέτω*
*μυρσίνας στέφανον. ἐπεί νιν Ἀλκαθόου τ' ἀγὼν σὺν τύχᾳ*
*ἐν Ἐπιδαύρῳ τε νεότας δέκετο πρίν.*
*τὸν αἰνεῖν ἀγαθῷ παρέχει·*
*ἥβαν γὰρ οὐκ ἄπειρον ὑπὸ χειᾷ καλῶν δάμασεν.*

---

desunt omnes praeter D retr.

**61** *λόγος* (unus vel duo Schol.?) **62** *Νικοκλέους* retr. **63** *γεραίρετέ νιν* Mommsen: *γεραίρετε μιν* Bothe: *γεραῖραί τέ μιν* retr. (Schol.?): *γέραιρέ τέ μιν* G. Hermann: *γεραίρεταί μιν* D — *ἂν νάπος* G. Hermann: *ἂν πέδον* retr.: *ἂν ἀπὸ* Aldina: *ἀνάπος* (*ἀνάπο? ἀνάπιος?*) D **64** *περικτύονας* Aldina **65** *καὶ κεῖνος* Böckh: *κἀκεῖνος* — *ἀφύκτῳ* retr.: *ἀφύκτε* D — *χερὶ* retr.: *χειρὶ* D — *τὸν μὲν* retr.: *τὸ μὲν* D — *γενεὰ* retr.: *γενεὰν* D **67** *Ἀλκαθόου* retr.: *Ἀλκάθου* D **68** *ἐν* retr.: *εἰ* D — *δέκετο πρίν* G. Hermann: *πρὶν ἔδεκτο* **69** *παρέχει* retr.: *παρέχειν* D **70** *χειᾷ* retr.: *χία πω* (*χόα πω?*) D

# FRAGMENTA PINDARI SELECTA.

Numeri et supra et in exteriore margine scripti designant locos, quibus haec fragmenta in maiore Boeckhii editione posita sunt; ii qui in interiore margine collocati sunt, ad alteram Bergkii editionem spectant; asterisco ea fragmenta notata sunt quae sine poetae nomine inveniuntur.

---

## I.

## ΙΣΘΜΙΟΝΙΚΑΙ.

ed. Bg.[2] 2 — **1.** — ed. Bö.[1] 1

–́ ⏑ ⏑ – ⏑ – ⏑ –́ ⏑ – ⏒
– –́ ⏑ – ⏑ – ⏑ – –́ ⏑ ⏓
⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒

*Αἰολίδαν δὲ Σίσυφον κέλοντο*
*ᾧ παιδὶ τηλέφαντον ὄρσαι γέρας*
*ἀποφθιμένῳ Μελικέρτᾳ.*

3 — **2.** — 2

× – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓
*ὅστις δὴ τρόπος ἐξεκύλισέ νιν.*

1 — **4.** — 4

–́ ⏑ – ⏑ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏒
– –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ – ⏒
–́⏑⏑ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –́ ⏑ ⏑ –
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ – ⏑ –́ ⏑ – –

*Κλεινὸς Αἰακοῦ λόγος, κλεινὰ δὲ καὶ ναυσικλυτὸς*
*Αἴγινα· σὺν θεῶν δέ νιν αἶσα*
*Ὕλλου τε καὶ Αἰγιμιοῦ*
*Δωριεὺς ἐλθὼν στρατὸς ἐκτήσατο*
*τὰ μὲν ὑπὸ στάθμᾳ νέμονται*
*οὐ θέμιν οὐδὲ δίκαν ξείνων ὑπερβαίνοντες· οἷοι δ' ἀρετὰν*
*δελφῖνες ἐν πόντῳ, ταμίαι τε σοφοὶ*
*Μοισᾶν ἀγωνίων τ' ἀέθλων.*

## II.

## ΥΜΝΟΙ.

ed. Bö.[1] 5. 6 — **1. 2.** — ed. Bg.[2] 6. 7

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒

*Ἰσμηνὸν ἢ χρυσαλάκατον Μελίαν,*
*ἢ Κάδμον, ἢ σπαρτῶν ἱερὸν γένος ἀνδρῶν,*
*ἢ τὰν κυανάμπυκα Θήβαν,*
*ἢ τὸ πάντολμον σθένος Ἡρακλέος,*
*ἢ τὰν Διωνύσου πολυγαθέα τιμάν,*
*ἢ γάμον λευκωλένου Ἁρμονίας ὑμνήσομεν .....;*

* * *

*Πρῶτον μὲν εὔβουλον Θέμιν οὐρανίαν*
*χρυσέαισιν ἵπποις Ὠκεανοῦ παρὰ παγᾶν*
*Μοῖραι ποτὶ κλίμακα σεμνὰν*
*ἄγον Οὐλύμπου λιπαρὰν καθ' ὁδὸν*
*σωτῆρος ἀρχαίαν ἄλοχον Διὸς ἔμμεν·*
*ἁ δὲ τὰς χρυσάμπυκας ἀγλαοκάρπους τίκτεν ἀλαθέας Ὥρας.*

8 — **4.** — 9

.................. –́ ⏑ ⏓

carpenter's line, rule, law

– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –

................. τοῦ θεοῦ
ἄκουσε Κάδμος μουσικὰν ὀρθὰν ἐπιδεικνυμένου.

ed. Bg.[1] 10 — 5.* — ed. Bö.[1] 9

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ – –

ὃς καὶ τυπεὶς ἁγνῷ πελέκει τέκετο
ξανθὰν Ἀθάναν.

11 — 6.* — 10

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑̆ ⏑ –

Κείνων λυθέντων σαῖς ὑπὸ χερσίν, ἄναξ.

12 — 7. — 11

– –́ ⏑ – – –́ ⏑ ⏑ .....

Ἄμμων Ὀλύμπου δέσποτα.

13 — 8. — 12

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – .....

Πότνια θεσμοφόρε χρυσάνιον .....

Ad Proserpinam.

14 — 12. — 16

⏑ –́ ⏖ ⏑ – –́ ⏑ –
–́ ⏑ ⏓ .....

Ἐν ἔργμασι δὲ νικᾷ τύχα,
οὐ σθένος.

Ad Hymnos etiam fr. 171 (inc. 69) pertinere relatum est; ft. etiam fr. 173 (inc. 70).

## III.

## ΠΑΙΑΝΕΣ.

29 — 1. — 24

–́ ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏕ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ –

Ἀμφιπόλοισι μαρνάμενον μοιριᾶν περὶ τιμᾶν ἀπολωλέναι.

De Neoptolemo Delphis occiso.

30 — 2. — 25

x – –́ ⏑ ⏑ – ⏑ –
x – x – –́ ⏑ ⏑ ....

*Χρύσεαι δ' ἐξ ὑπεραιέτου*
*ἄειδον Κηληδόνες.*

De Delphico templo.

ed. Bö.[1] 29 | 6. | ed. Bg.[2] 35

x – –́ ⏑ ⏑ – ⏖́ ⏑ – ⏑ ⏖́ ⏑ ⏓

*Δωδωναῖε μεγάσθενες, ἀριστότεχνα πάτερ,*

33 | 10. | 39

⏑ –́ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
⏒ –́ ⏑ ⏑ – ⏑ – ⏑ ⏓
–́ ⏑ – ⏑ –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓

*Τί δ' ἔλπεαι σοφίαν ἔμμεναι, ᾇ ὀλίγον τοι*
*ἀνὴρ ὑπὲρ ἀνδρὸς ἰσχύει;*
*οὐ γὰρ ἔσθ' ὅπως τὰ θεῶν βουλεύματ' ἐρευνάσει βροτέᾳ φρενί· θνατᾶς δ' ἀπὸ ματρὸς ἔφυ.*

## IV.

## ΔΙΘΥΡΑΜΒΟΙ.

44 | 2. | 50

. . ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ –

*Ἀλόχῳ ποτὲ θωραχθεὶς ἔπεχ' ἀλλοτρίᾳ*
*Ὠαρίων.*

45 | 3. | 53

– –́ ⏑ ⏑⏑ –́ ⏑ ⏓
⏑ ⏖́ ⏑ – –́ ⏑ ⏑⏑ –́ ⏑ –
⏑ ⏖́ ⏑ – –́ ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏒
– –́ ⏑ ⏑ – ⏑ – –
– –́ ⏑ – –́ ⏑ – – ⏖ ⏑ –
⏖ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ ⏑ – – x – –́ ⏑ ⏑ – ⏑ ⏑⏑ –́ ⏑ ⏓
⏑ ⏖ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏓
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ –
–́ ⏑ ⏑ – ⏖ ⏑ ⏑ – ⏖ ⏑ ⏑ – ⏖ ⏑ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ –
⏑ –́ –́ ⏑ – – –́ ⏑ ⏑ ⏓

renowned or loud song' F.

palm, palm

O.14.3.

⏑ –́ – –́ ⏑ ⏑ – –́ ⏑ – –́ ⏑ –
– –́ ⏑ – ⏖́ ⏑ – –́ ⏑ – –́ ⏑ ⏑ ⏑̆
– –́ ⏑ ⏑ ⏖ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ ⏑̆
⏑ ⏑ –́ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏖́ – ⏑̆
⏑ –́ ⏑ – ⏑ ⏖́ ⏑ – ⏑ – ⏑ ⏑̆
x́ – x́ – –́ ⏑ ⏑ – ⏑ – –
x́ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏖́ ⏑ –

*Δεῦτ' ἐν χορόν, Ὀλύμπιοι,*
*ἔπι τε κλυτὰν πέμπετε χάριν, θεοί,*
*πολύβατον οἵτ' ἄστεος ὀμφαλὸν θυόεντα*
*ἐν ταῖς ἱεραῖς Ἀθάναις*
*οἰχνεῖτε πανδαίδαλόν τ' εὐκλέ' ἀγοράν·*
*ἰοδετᾶν λάχετε σιεφάνων*
*τᾶν τ' ἐαριδρέπτων λοιβᾶν, Διόθεν τέ με σὺν ἀγλαᾷ*
*ἴδετε πορευθέντ' ἀοιδᾷ δεύτερον*
*ἐπὶ κισσοδέταν θεόν,*
*τὸν Βρόμιον τὸν Ἐριβόαν τε καλέομεν. γόνον ὑπάτων μὲν πατέρων μελπέμεν*
*γυναικῶν τε Καδμειᾶν ἔμολον.*
*Ἐν Ἀργείᾳ Νεμέᾳ μάντιν οὐ λανθάνει*
*φοίνικος ἔρνος, ὁπότ' οἰχθέντος Ὡρᾶν θαλάμου*
*εὔοδμον ἐπαΐωσιν ἔαρ φυτὰ νεκτάρεα.*
*τότε βάλλεται, τότ' ἐπ' ἀμβρόταν χέρσον ἐραταὶ*
*ἴων φόβαι, ῥόδα τε κόμαισι μίγνυται,*
*ἀχεῖταί τ' ὀμφαὶ μελέων σὺν αὐλοῖς,*
*ἀχεῖται Σεμέλαν ἑλικάμπυκα χοροί.*

ed. Bg.[2] 54 — **4.** — ed. Bö.[1] 46

–́ ⏑ ⏖ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑̆
– ⏖́ ⏑ – ⏑ –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑

*Αἵ τε λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοίδιμοι,*
*Ἑλλάδος ἔρεισμα, κλειναὶ Ἀθᾶναι, δαιμόνιον πτολίεθρον.*

56 — **5.** — 47

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –

*Πρὶν μὲν εἷρπε σχοινοτένειά τ' ἀοιδὰ διθυράμβων*
*καὶ τὸ σὰν κίβδαλον ἀνθρώποισιν ἀπὸ στομάτων.*

ed. Bö.[1] 48 — 6. — ed. Bg.[2] 57

. . . . . . – –́ ⏑ – –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ ⏒
–́ ⏑ ⏑ – ⏑ –́ ⏑ – – –́ ⏑ – –

σοὶ μὲν κατάρχειν,
μᾶτερ μεγάλα, πάρα ῥόμβοι κυμβάλων,
ἐν δὲ κεχλάδειν κρόταλα,
αἰθομένα δὲ δᾲς ὑπὸ ξανθαῖσι πεύκαις.

49 — 7. — 58

⏑ ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – –́ ⏑ ⏑ –
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ ⏑ ⏓
– –́ ⏑ ⏑ – –́ ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ ⏒
–́ ⏑ – ⏑ ⏒

Σὲ δ' ἐγὼ παρ' ἄμμιν αἰνέω μέν, Γηρυόνα,
τὸ δὲ μὴ Διῒ φίλτερον σιγῷμι πάμπαν. οὐ γὰρ ἐοικός,
ἁρπαζομένων τῶν ἐόντων, καθῆσθαι παρ' ἑστίᾳ,
καὶ κακὸν ἔμμεναι.

50 — 8. — 59

Τὰν λιπαρὰν μὲν Αἴγυπτον ἀγχίκρημνον.

51 — 9. — 60

–́ ⏑ ⏖ –́ ⏑ – –́ ⏑ ⏖ ⏖́ ⏑ ⏒

Ἦν ὅτε σύας τὸ Βοιώτιον ἔθνος ἔνεπον.

52 — 11. — 52

Τρέχων δὲ μετὰ Πληϊόναν, ἅμα δ' αὐτῷ κύων λεοντο-
δάμας.

De Orione.

57 — 15. — 133

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏒
–́ ⏑ ⏑ – ⏖́ ⏑ – ⏑ – ⏖́ ⏑ – –
– –́ ⏑ . . . . . . . .

Ὁ ζαμενὴς δ' ὁ χοροιτύπος,
ὃν Μαλεάγονος ἔθρεψε Ναΐδος ἀκοίτας
Σειληνός.

Böckhius hoc fr. inter dithyrambos retulit, Bergk. inter incerta. Bergk. fr. 225 et 196 (inc. 122 et 93) dithyrambis adnumeravit.

# V.

# ΠΡΟΣΟΔΙΑ.

ed. Bg.[3] 64. 65 — **1.** — ed. Bö.[1] 58

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
– –́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –

## Stropha.

*Χαῖρ', ὦ θεοδμάτα, λιπαροπλοκάμου*
*παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος,*
*πόντου θύγατερ, χθονὸς εὐρείας ἀκίνητον τέρας, ἅντε βροτοὶ*
*Δᾶλον κικλήσκοισιν, μάκαρες δ' ἐν Ὀλύμπῳ τηλέφατον*
*κυανέας χθονὸς ἄστρον . . . . . . . .*
. . . . . . . . . .
. . . . . . . . . .
. . . . . . . . . .

## Antistropha.

. . . . . . . . . .
. . . . . . . . . .
*ἦν γὰρ τοπάροιθε φορητὰ κυμάτεσσιν παντοδαπῶν τ' ἀνέμων*
*ῥιπαῖσιν· ἀλλ' ἁ Κοιογενὴς ὁπότ' ὠδίνεσσι θοαῖς*
*ἀγχιτόκοις ἐπέβαινεν, δὴ τότε τέσσαρες ὀρθαὶ*
*πρέμνων ἀπώρουσαν χθονίων,*
*ἂν δ' ἐπικράνοις σχέθον πέτραν ἀδαμαντοπέδιλοι*
*κίονες· ἔνθα τεκοῖσ' εὐδαίμον' ἐπόψατο γένναν.*

66 — **2.** — 59

⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏒

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –

*Τί κάλλιον ἀρχομένοισιν ἢ καταπαυομένοισιν,*
*ἢ βαθύζωνόν τε Λατὼ καὶ θοᾶν ἵππων ἐλάτειραν ἀεῖσαι;*

Aeginetis in Aphaeam.

ed. Bö.[1] 60 **3.** ed. Bg.[2] 67

. . . ⏑ ⏑ – ⏑ – ⏑ – ⏑
x́ ⏑ –́ ⏑ ⏑ – ⏑ – –
x́ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑
–́ ⏑ ⏑ – ⏑ – – –́ ⏑ ⏑ – ⏑ –
–́ ⏑ ⏑ – ⏑ – –

*. . . Πρὸς Ὀλυμπίου Διός σε,*
*χρυσέα κλυτόμαντι Πυθοῖ,*
*λίσσομαι Χαρίτεσσί τε καὶ σὺν Ἀφροδίτᾳ*
*ἐν ζαθέῳ με δέξαι χώρῳ ἀοίδιμον*
*Πιερίδων προφάταν.*

Ad Prosodia fr. 93 (scol. 7) retulit Bg.; cf. etiam fr. 292.

## VI.

## ΠΑΡΘΕΝΙΑ.

63 **2.** 71

x – –́ ⏑ ⏑ – ⏑ – x – –́ ⏑ ⏑ – ⏑ –
– –́ ⏑ ⏑ – ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏑

*Ὦ Πάν, Ἀρκαδίας μεδέων, καὶ σεμνῶν ἀδύτων φύλαξ,*
*Ματρὸς μεγάλας ὀπαδέ, σεμνᾶν Χαρίτων μέλημα τερπνόν.*

64 **3.** 74

*Τὸ σαυτοῦ μέλος γλάζεις.*

De Pane.

66 **5.** 72

–́ ⏑ ⏑ – ⏑⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ –

*Ὦ μάκαρ, ὅντε μεγάλας θεοῦ κύνα παντοδαπὸν*
*καλέοισιν Ὀλύμπιοι.*

De eodem.

70 **9.** 77. 78

. . . . . . – – –́ ⏑ – –

very divine, sacred

-otion for victory Pyth. II. Hiero gave him the mules: Pindar hints chariot too; not no indication of simile.

sagacious shrewd

beast that goes on all fours

– ´∪ – – ´∪ ∪ – ´∪ ∪ – ∪ ∪ – ∪ ∪ – –
´∪ – – ´∪ ∪ – ∪ ∪ – – ´∪ – –
´∪ ∪ – ∪ ∪ – ´∪ – – ´∪ ∪ – ∪ . . .

. . . . . . κινηθεὶς ἐπήει
γᾶν καὶ θάλασσαν καὶ σκοπιαῖσιν μεγάλαις ὀρέων ὕπερ
ἔστα
καὶ μυχοὺς δινάσσατο βαλλόμενος κρηπῖδας ἀλσέων.
καί ποτε τὸν τρικάρανον Πτώου κευθμῶνα κατέσχε . . .

De Apolline. In eodem carmine Tenerum poeta dixerat

ναοπόλον μάντιν δαπέδοισιν ὁμοκλέα.

. . . – ∪ ∪ – – ´∪ ∪ – ∪ ∪ – –

## VII.

## ΥΠΟΡΧΗΜΑΤΑ.

ed Eg.[2] 81 **1.** ed. Bö.[1] 71

∪ ⏑⏑ ´∪ ´∪ ∪ – ∪ ∪ – ∪ – ⏑⏑ ∪ ⏒
´∪ – – . . . . . .

Σύνες ὅ τοι λέγω, ζαθέων ἱερῶν ὁμώνυμε πάτερ,
κτίστορ Αἴτνας.

Ad Hieronem.

82 **2.** 72

∪ ∪ ´∪ ∪ – ∪ – ∪ – ´∪ –
∪ ∪ ´∪ ∪ – ∪ – ∪ – ∪ – –

Νομάδεσσι γὰρ ἐν Σκύθαις ἀλᾶται Στράτων,
ὃς ἁμαξοφόρητον οἶκον οὐ πέπαται·
ἀκλεὴς δ᾽ ἔβα.

Ex eodem, ut videtur, ad Hieronem carmine.

83 **3.** 73

∪ ∪ ´∪ ∪ – ´∪ – ∪
∪ ∪ ´∪ ⏑⏑ ∪ ´∪ ∪ – ∪ ∪ – ∪ ⏒
× ∪ ´∪ ∪ – ´∪ – ∪
´∪ – ∪ – ∪ ⏒
×⏑⏑ ∪ ´∪ ∪ – ∪ – – ´∪ ∪ – ´∪ ∪ – –
∪ ⏑⏑ ´∪ – ∪ ´∪ ∪ – ∪ – –

Ἀπὸ Ταϋγέτου μὲν Λάκαιναν
ἐπὶ θηρσὶ κύνα τρέχειν πυκινώτατον ἑρπετόν·

*Σκύριαι δ' ἐς ἄμελξιν γάλακτος*
*αἶγες ἐξοχώταται·*
*ὅπλα δ' ἀπ' Ἄργεος· ἅρμα Θηβαίων ἀπὸ γᾶς ἀγλαο-*
*κάρπου·*
*Σικελίας δ' ὄχημα δαιδάλεον ματεύειν.*

Ex eodem ad Hieronem carmine.

ed. Bö.[1] 84 — **4.** — ed. Bg.[2] 74

× ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏒ –́ ⏑ –
–́ ⏑ ⏑ – ⏕́ ⏑ – ⏑ – –́ ⏑ ⏑ ⏓
⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – ⏕̽ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
⏑ –́ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – × ⏑ –́ ⏑ ⏑ – –
⏑ –́ ⏑ ⏑ – –́ ⏑ – ⏑ – × – –́ ⏑ ⏑ – – –́ ⏑ –
⏑ ⏑ –́ – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏕́ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – × – –́ ⏑ ⏑ – ⏑ ⏕ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
× – –́ ⏑ – ⏑ – ⏑ – × – –́ ⏑ ⏑ – – –́ ⏑ ⏓
⏑ ⏑ –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ –

*Ἀκτὶς Ἀελίου, τί, πολύσκοπ' ἐμαῖς θέαις μέτρ' ὀμ-*
*μάτων,*
*ἄστρον ὑπέρτατον ἐν ἁμέρᾳ κλεπτόμενον*
*ἔθηκας ἀμάχανον ἰσχὺν πτανὸν ἀνδράσιν*
*καὶ σοφίας ὁδόν, ἐπίσκοτον ἀτραπὸν ἐσσυμένα*
*ἐλαύνειν τι νεώτερον ἢ πάρος;*
*ἀλλά σε πρὸς Διὸς ἵπποις θοαῖς ἱκετεύω*
*ἀπήμον' ἐς ὄλβον τράποιο Θήβαις, ὦ πότνια, πάγκοι-*
*νον τέρας.*
*πολέμου δ' εἰ σᾶμα φέρεις τινός, ἢ καρποῦ φθίσιν, ἢ*
*νιφετοῦ σθένος ὑπέρφατον,*
*ἢ στάσιν οὐλομέναν, ἢ πόντου κενέωσιν ἀνὰ πέδον,*
*ἢ παγετὸν χθονός, ἢ νότιον θέρος ὕδατι ζακότῳ διερόν,*
*ἢ γαῖαν κατακλύσαισα θήσεις ἀνδρῶν νέον ἐξ ἀρχᾶς*
*γένος,*
*ὀλοφυρομένων πάντων μέτα πείσομαι.*

Ex carmine de solis defectu.

85 — **5.** — 75

⏑ –́ ⏑ – –́ ⏑ – –

'shields'

bearing beautiful goodly fruit

⏑ ⏑́ ⏑ – ⏑́ ⏑ – ⏑́ ⏑ – ⏑ – ⏖́ ⏑ – ⏑ –
⏑ ⏑́ ⏑́ ⏑ ⏑́ ⏑ ⏑ – . . .

*Θεοῦ δὲ δείξαντος ἀρχὰν*
*ἕκαστον ἐν πρᾶγος εὐθεῖα δὴ κέλευθος ἀρετὰν ἑλεῖν,*
*τελευταί τε καλλίονες.*

ed. Bg.[1] 87 — 6. — ed. Bö.[2] 76

⏖́ ⏑ – – ⏖́ ⏑ – ⏑ – ⏑́ ⏑ – ⏑ –
– ⏑́ ⏑ ⏑ – ⏑ – ⏑́ ⏑ – ⏑ – ⏓

*Γλυκὺ δ' ἀπείροισι πόλεμος· πεπειραμένων δέ τις*
*ταρβεῖ προσιόντα νιν καρδίᾳ περισσῶς.*

88 — 7. — 77

⏑ ⏖́ ⏑ – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑́ ⏑ ⏑́ ⏑ ⏑ – ⏓
⏑́ ⏑ ⏖ ⏑́ ⏑ – ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑ – ⏑ – –
– ⏑́ ⏑ ⏑ – ⏑ – ⏑́ – ⏑́ . . . . .

*Ἐνέπισε κεκραμέν' ἐν αἵματι. πολλὰ δ' ἕλκε' ἔμβαλε*
*νωμῶν*
*τραχὺ ῥόπαλον, τέλος δ' ἀείραις πρὸς στιβαρὰς σπάραξε*
*πλευράς,*
*αἰὼν δὲ δι' ὀστέων ἐρραίσθη.*

89 — 8. — 78

⏑ ⏑́ ⏑ – ⏑́ ⏑ ⏑́ ⏑ ⏑ –

*Λάκαινα μὲν παρθένων ἀγέλα.*

93. 94 — 12.* — 82

⏑ ⏑́ ⏑́ ⏑ ⏑́ ⏑ ⏑ – ⏑ – ⏓

*Ὁ Μοισαγέτας με καλεῖ χορεῦσαι.*

* * *

*Ἄγοις ὦ κλυτὰ θεράποντα Λατοῖ.*

Inter Hyporchemata numerandum est fr. 228 (inc. 125).

## VIII.

## ΕΓΚΩΜΙΑ.

95 — 1. — 83

⏑́ ⏑ – – ⏑́ ⏑ – – ⏑́ . . . . . .

*Βούλομαι παίδεσσιν Ἑλλάνων . . . . .*

Ad Theronem.

ed. Bö.[1] ed. Bg.[2]

84 **2.** 96

–́ ⏑ ⏑ – [⏑] ⏑ – – –́ . . . . . .
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓

*Ἐν δὲ Ῥόδον . . κατῴκισθεν . . . . .*
*ἔνθ' ἀφορμαθέντες ὑψηλὰν πόλιν ἀμφινέμονται,*
*πλεῖστα μὲν δῶρ' ἀθανάτοις ἀνέχοντες,*
*ἕσπετο δ' ἀενάου πλούτου νέφος.*

Ad eandem.

85 **3.** 97

–́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – –

*Ὀλβίων ὁμώνυμε Δαρδανιδᾶν,*
*παῖ θρασύμηδες Ἀμύντα.*

Ad Alexandrum Amyntae f., regem Macedonum.

86 **4.** 98

. . . . . ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
– –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – –

*Πρέπει δ' ἐσλοῖσιν ὑμνεῖσθαι καλλίσταις ἀοιδαῖς·*
*τοῦτο γὰρ ἀθανάτοις τιμαῖς ποτιψαύει μόνον [ῥηθέν]·*
*θνάσκει δ' ἐπιλασθὲν καλὸν ἔργον.*

## IX.

## ΣΚΟΛΙΑ.

87 **1.** 99

### Stropha prima.

⏑ –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –
⏖́ ⏑ – – ⏖́ ⏑ – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓

*Πολύξεναι νεάνιδες, ἀμφίπολοι Πειθοῦς ἐν ἀφνεᾷ Κορίνθῳ,*

αἵτε τᾶς χλωρᾶς λιβάνου ξανθὰ δάκρη θυμιᾶτε,
πολλάκι ματέρ' ἐρώτων οὐρανίαν πτάμεναι νόημα ποτ-
τὰν Ἀφροδίταν,
ὔμμιν ἄ τ' ἄνωθεν ἀπαγορίας
ἔπορεν, ὦ παῖδες, ἐρατειναῖς ἐν εὐναῖς
μαλθακᾶς ὥρας ἀπὸ καρπὸν δρέπεσθαι. σὺν δ' ἀνάγκᾳ
πᾶν καλόν.

### Epodus prima.

–́ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ –
– –́ ⏑ ⏑ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
⏑ –́ ⏑ – – –́ ⏑ – –

. . . . . . . . .

. . . . . . . . .

. . . . . . . . .

Ἀλλὰ θαυμάζω, τί με λέξοντι Ἰσθμοῦ δεσπόται
τοιάνδε μελίφρονος ἀρχὰν εὑρόμενον σκολίου
ξυνάορον ξυναῖς γυναιξίν.

. . . . . . . . .

. . . . . . . . .

. . . . . . . . .

**Primi versus secundae strophae initium.**

Διδάξαμεν χρυσὸν καθαρᾷ βασάνῳ . . . . .

### Epodus alia.

Ὦ Κύπρου δέσποινα, τεὸν δεῦτ' ἐς ἄλσος φορβάδων
κουρᾶν ἀγέλαν ἑκατόγγυιον Ξενοφῶν τελέαις
ἐπάγαγ' εὐχωλαῖς ἰανθείς.

. . . . . . . . .

. . . . . . . . .

. . . . . . . . .

**Ex Scolio Xenophonti Corinthio scripto.**

ed. Bg.³ 100 — **2.** — ed. Bö.¹ 88

### Strophae.

– –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ – –́ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ –

### Epodi.

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑́ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓

### Stropha.

*Χρῆν μὲν κατὰ καιρὸν ἐρώτων δρέπεσθαι, θυμέ, σὺν ἁλικίᾳ·*
*τὰς δὲ Θεοξένου ἀκτῖνάς τις ὄσσων μαρμαριζοίσας δρακεὶς*
*ὃς μὴ πόθῳ κυμαίνεται, ἐξ ἀδάμαντος*
*ἢ σιδάρου κεχάλκευται μέλαιναν καρδίαν*

### Antistropha.

*Ψυχρᾷ φλογί, πρὸς δ' Ἀφροδίτας ἀτιμασθεὶς ἑλικοβλεφάρου*
*ἢ περὶ χρήμασι μοχθίζει βιαίως, ἢ γυναικείῳ θράσει*
*ψυχὰν φορεῖται πᾶσαν ὁδὸν θεραπεύων.*
*ἀλλ' ἐγὼ τᾶσδ' ἕκατι κηρὸς ὣς δαχθεὶς ἕλᾳ*

### Epodus.

*ἱρᾶν μελισσᾶν τάκομαι, εὖτ' ἂν ἴδω παίδων νεόγυιον ἐς ἥβαν.*
*ἐν δ' ἄρα καὶ Τενέδῳ Πειθώ τε ναίει*
*καὶ Χάρις υἱὸν Ἀγησίλα.*

Theoxeno Tenedio.

ed. Bö.[1] 89 — 3. — ed. Bg.[2] 101

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒

*Ὦ Θρασύβουλ', ἐρατᾶν ὄχημ' ἀοιδᾶν*
*τοῦτό τοι πέμπω μεταδόρπιον. ἐν ξυνῷ κεν εἴη συμπόταισίν τε γλυκερὸν*

καὶ Διωνύσοιο κάρπῷ καὶ κυλίκεσσιν, Ἀθαναίαισι κέν-
τρον.

Thrasybulo Xenocratis f. Agrigentino.

ed. Bg.[2] 105 — 4. — ed. Bö.[1] 90

⏑ ⏑ ⏑́ ⏑́ ⏑ – ⏑ – ⏑ – ⏑̄
–́ ⏑ – x – –́ ⏑ ⏑ –
⏑ ⏑ –́ ⏑́⏑ ⏑ – –́ ⏑ –

Χάριτάς τ' Ἀφροδισίων ἐρώτων,
ὄφρα σὺν χειμάῤῥῳ μεθύω,
Ἀγάθωνι δὲ καλῷ κότταβον.

102 — 5. — 91

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑̄
–́ ⏑ – – – ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –

Τόν ῥα Τέρπανδρός ποθ' ὁ Λέσβιος εὗρεν
πρῶτος ἐν δείπνοισι Λυδῶν
ψαλμὸν ἀντίφθογγον ὑψηλᾶς ἀκούων πηκτίδος.

Ad Hieronem.

103 — 6. — 92

–́ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ ⏑ –
– –́ ⏑ – ⏑ –́ ⏑ – –

Μηδ' ἀμαύρου τέρψιν ἐν βίῳ· πολύ τοι
φέρτιστον ἀνδρὶ τερπνὸς αἰών.

Ad eundem.

69 — 7. — 93

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – . . . . .

* * *

– –́ ⏑ – – –́ ⏑ ⏑ – – ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – – ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ . . . . .

Κείνῳ μὲν Αἴτνα δεσμὸς ὑπερφίαλος
ἀμφίκειται·

* * *

Ἀλλ' οἶος ἄπλατον κεράϊζες θεῶν
Τυφῶν' ἑκατοντακάρανον ἀνάγκᾳ, Ζεῦ πάτερ,
εἶν Ἀρίμοις ποτέ.

„Ex eodem, ut videtur, carmine.“ Bö. — Bg. haec fr. ad Prosodia retulit.

ed. Bö.[1] 94 **8.** ed. Bg.[4] 101

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ – ⏒ –́ ⏑ –

*Δεῖπνον δὲ λήγοντος γλυκὺ τρωγάλιον*
*καίπερ πεδ' ἄφθονον βοράν.*

Ad Scolia etiam fr. 236 (inc. 133) a Bg. refertur.

## X.

## ΘΡΗΝΟΙ.

95 **1.** 106. 107

### Stropha prima.

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏒ –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – ⏒
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –

*Τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύκτα κάτω*
*φοινικορόδοις τ' ἐνὶ λειμώνεσσι προάστιον αὐτῶν*
*καὶ λιβάνῳ σκιαρᾷ καὶ χρυσέοις καρποῖς βέβριθεν.*
*καὶ τοὶ μὲν ἵπποις γυμνασίοις τε, τοὶ δὲ πεσσοῖς,*
*τοὶ δὲ φορμίγγεσσι τέρπονται, παρὰ δέ σφισιν εὐανθὴς ἅπας τέθαλεν ὄλβος·*
*ὀδμὰ δ' ἐρατὸν κατὰ χῶρον κίδναται*
*αἰεὶ θύα μιγνύντων πυρὶ τηλεφανεῖ παντοῖα θεῶν ἐπὶ βωμοῖς.*

Ex fine alius strophae huius carminis haec supersunt:

*Ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον*
*βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοί . . . . .*

96 **2.** 108

–́ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – [–] –́ ⏑ – –
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
– –́ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓

Ὀλβίᾳ δ' ἅπαντες αἴσᾳ λυσίπονον [μετανίσσονται] τελευτάν.
καὶ σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ,
ζωὸν δ' ἔτι λείπεται αἰῶνος εἴδωλον· τὸ γάρ ἐστι μόνον
ἐκ θεῶν· εὕδει δὲ πρασσόντων μελέων, ἀτὰρ εὑδόντεσσιν ἐν πολλοῖς ὀνείροις
δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν.

ed. Bg.[2] 109 — **3.** — ed. Bö.[1] 97

– –́ ⏑ ⏖ ×́ ⏑ –́ ⏑ ⏑ –
– –́ – –́ ⏑ ⏑ – ⏑ ⏖́ ⏑ –
⏑ –́ – –́ ⏑ – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ . –
– –́ ⏑ ⏖ ⏖́ ⏑ – –́ ⏑ – –

Ψυχαὶ δ' ἀσεβέων ὑπουράνιοι
γαίᾳ πωτῶνται ἐν ἄλγεσι φονίοις
ὑπὸ ζεύγλαις ἀφύκτοις κακῶν·
εὐσεβέων δ' ἐπουράνιοι νάοισαι
μολπαῖς μάκαρα μέγαν ἀείδοντ' ἐν ὕμνοις.

110 — **4.** — 98

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ . .

Οἷσι δὲ Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος
δέξεται, ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτεϊ
ἀνδιδοῖ ψυχὰν πάλιν.
ἐκ τᾶν βασιλῆες ἀγαυοὶ καὶ σθένει κραιπνοὶ σοφίᾳ τε μέγιστοι
ἄνδρες αὔξοντ'· ἐς δὲ τὸν λοιπὸν χρόνον ἥρωες ἁγνοὶ πρὸς ἀνθρώπων καλεῦνται.

111 — **5.** — 99

. . . . . . . . . – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – –

. . . . . . . . εὐδαιμόνων
δραπέτας οὐκ ἔστιν ὄλβος.

ed. Bö.[1] 100 — 6. — ed. Bg.[2] 112

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –

*Πέφνε δὲ τρεῖς καὶ δέκ᾽ ἄνδρας· τετράτῳ δ᾽ αὐτὸς πέ-*
*δάθη.*

102 — 8. — 114

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓ –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – –

*Ὄλβιος ὅστις ἰδὼν ἐκεῖνα κοίλαν*
*εἶσιν ὑπὸ χθόνα· οἶδεν μὲν βιότοιο τελευτάν,*
*οἶδεν δὲ διόσδοτον ἀρχάν.*

De Eleusiniis.

## XI.

## ΕΞ ΑΔΗΛΩΝ ΕΙΔΩΝ.

104 — 1. — 117

*Τί θεός; ὅ τι τὸ πᾶν.*

105 — 2. — 118

⏑ ⏖ ⏑ – ⏑ – –́ ⏑ – – ⏖ ⏑ – –́ ⏑ – ⏓

*Θεὸς ὁ τὰ πάντα τεύχων βροτοῖς καὶ χάριν ἀοιδᾷ φυ-*
*τεύει.*

106 — 3. — 119

⏑ –́ ⏑ ⏖ ⏑ – ⏑ – –
– ⏖ ⏑ – ⏑ – –́ ⏑ –
⏑ –́ ⏖ ⏑ – ⏑ – ⏑ – –́ ⏑ ⏑ ⏒
–́ ⏑ – ⏑ ⏒

*Θεῷ δὲ δυνατὸν ἐκ μελαίνας*
*νυκτὸς ἀμίαντον ὄρσαι φάος,*
*κελαινεφέϊ δὲ σκότει καλύψαι καθαρὸν*
*ἁμέρας σέλας.*

107 — 4. — 120

×́ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –
⏑ –́ ⏑ – – ⏖ ⏑ –
– –́ ⏑ – ⏑ ⏖ ⏑ – ⏓

Κεῖνοι γάρ τ᾽ ἄνοσοι καὶ ἀγήραοι
πόνων τ᾽ ἄπειροι, βαρυβόαν
πορθμὸν πεφευγότες Ἀχέροντος.

De diis.

ed. Bg.[2] 121 **5.** ed. Bö.[1] 108

Ἐλασίβροντε παῖ Ῥέας.

Ad Iovem

122 **6.** 109

Θεῶν ἅτε πλέον τι λαχών.

De eodem.

123 **9.** 112

. . . . . –́ ⏑ – ⏓ –́ ⏑ ⏑ – ⏓
– –́ ⏑ – ⏓ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏒
–́ ⏑ – . . . . . . . . .

Πῦρ πνέοντος ἅ τε κεραυνοῦ
ἄγχιστα δεξιὰν κατὰ χεῖρα πατρὸς
ἵζεαι.

De Minerva.

124 **11.** 114

Ἐν χρόνῳ δ᾽ ἐγένετ᾽ Ἀπόλλων.

125 **12.** 115

x – –́ ⏑ ⏑ – ⏑ – – –́ ⏑ ⏑ – ⏑ – ⏓

Ὀρχήστ᾽ ἀγλαΐας ἀνάσσων, εὐρυφάρετρ᾽ Ἄπολλον.

126 **13.** 116

⏑ –́ ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – –

Κατεκρίθη δὲ θνατοῖς ἀγανώτατος ἔμμεν.

De Apolline.

127 **15.** 118

– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –

Μαντεύεο, Μοῖσα, προφατεύσω δ᾽ ἐγώ.

128 **16.** 119

Μοῖσ᾽ ἀνέηκέ με.

ed. Bö.[1] ed. Bg.[2]

125 **22.** 130

x ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏑ – – –́ ⏑ ⏒
x – –́ ⏑ ⏑ – –

*Δενδρέων δὲ νομὸν Διόνυσος πολυγαθὴς αὐξάνοι,*
*ἁγνὸν φέγγος ὀπώρας.*

126 **23.** 131

⏑ –́ –́ ⏑ ⏑ – –́ ⏑ –
⏑ –́ ⏑ ⏑ – – –́ ⏑ – –́ ⏓
⏑ –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – ⏖ ⏑ – –́ ⏑ ⏑ –

*Ἐλαφρὰν κυπάρισσον φιλέειν,*
*ἐᾶν δὲ νομὸν Κρήτας περιδαῖον.*
*ἐμοὶ δ' ὀλίγον μὲν γᾶς δέδοται, ὅθεν ἄδρυς·*
*πενθέων δ' οὐκ ἔλαχον οὐδὲ στασίων.*

127 **24.** 132

⏑ –́ –́ ⏑ –
x ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏓
– –́ ⏑ –́ ⏑ ⏑ – –́ –
x – –́ ⏑ ⏑ . . . .

*Τί δ' ἔρδων φίλος*
*σοί τε, καρτερόβροντα Κρονίδα, φίλος δὲ Μοίσαις,*
*Εὐθυμίᾳ τε μέλων εἴην,*
*τοῦτ' αἴτημί σε.*

128 **25.** 134

–́ ⏑ – ⏓ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –

*Ὦ τάλας ἐφάμερε, νήπια βάζεις χρήματά μοι διακομπέων.*

Silenus Olympo Phrygi.

129 **26.** 135

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –

*Ταῖς ἱεραῖσι μελίσσαις τέρπεται.*

Fortasse de Proserpina.

132 **29.** 136

– –́ ⏑ – –́ ⏑ – – –́ ⏑ – ⏓

*Ἀνδρῶν δικαίων χρόνος σωτὴρ ἄριστος.*

133 **30.** 137

⏓ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –

*Ἄνακτα τῶν πάντων ὑπερβάλλοντα χρόνον μακάρων.*

ed. Bg.[2] 138 — 31. — ed. Bö.[1] 134

. . . . . . . . . . . . – –
⏓ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ [⏑ –] . . .

*. . . . . . . . . . . οἱ μὲν*
*κατωκάρα δεσμοῖσι δέδενται . . . . .*

140 — 34. — 137

– –́ ⏑ ⏑ – ⏑ –́ ⏑ – ×́ ⏑ –́ ⏑ ⏑ – –

*Ἀλλαλοφόνους ἐπάξαντο λόγχας ἐνὶ σφίσιν αὐτοῖς.*

De Oto et Ephialte.

141 — 39. — 142

*Φιλόμαχον γένος ἐκ Περσέος.*

142 — 43. — 146

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –

*Ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῖσαι.*

De Hamadryadibus.

143 — 44. — 147

–́ ⏑ ⏑ ⏑ ⏑ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ – – –́ ⏑ . . . . . .

*Ἀνδροδάμαντα δ᾽ ἐπεὶ Φῆρες δάεν ῥιπὰν μελιαδέος οἴνου,*
*ἐσσυμένως ἀπὸ μὲν λευκὸν γάλα χερσὶ τραπεζᾶν*
*ὤθεον, αὐτόματοι δ᾽ ἐξ ἀργυρέων κεράτων*
*πίνοντες ἐπλάζοντο.*

De Centauris.

144 — 45. — 148

[–́] ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ –

*. . ὁ δὲ χλωραῖς ἐλάταισι τυπεὶς*
*ᾤχεθ᾽ ὑπὸ χθόνα Καινεὺς σχίσαις ὀρθῷ ποδὶ γᾶν.*

145 — 47. — 150

. . . . . . . . [–́ ⏑ ⏑] – ⏑ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏒

´ ⏑ ⏑ – ⏑ ⏑ – – ´ ⏑ ⏑ –
´ ⏑ – – ´ ⏑ – ´ ⏑ ⏓
´ ⏑ ⏑ – ⏖ ⏑ – – ´ ⏑ – – ´ ⏑ ⏓

*Διὰ βοῶν*
*θέρμ᾽ ἔδει ἀνθρακιὰν στέψαντα πυρίπνοά τε*
*σώματα· καὶ τότ᾽ ἐγὼ σαρκῶν τ᾽ ἐνοπὰν*
*εἶδον ἠδ᾽ ὀστέων στεναγμὸν βαρύν·*
*ἦν δὲ ἰδόντα διακρῖναι πολλὸς ἐν καιρῷ χρόνος.*

De Hercule.

ed. Bö.[1] 151 **48.** ed. Bg.[3] 146

. . . . . . . . . . . . . . . .
⏖ ⏑ – ´ ⏑ ⏑ –
– ´ ⏑ ⏑ – ⏑ ⏑ –
⏑ ´ ⏑ – ´ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏑ ´ ⏑ – ´ ⏑ ⏑ – ⏑ ⏓
⏒ ´ ⏑ – ⏒ ⏖ ⏑ – ´ ⏑ ⏑ – ⏑ –
⏒ ´ ⏑ – ⏑ ´ ⏑ ⏑ – – ´ ⏑ ⏓
⏑ ´ – ´ ⏑ ⏑ – ⏑ ⏑ – ´ ⏑ ⏓

. . . . . . . . . *κατὰ φύσιν* . . .
*νόμος ὁ πάντων βασιλεὺς*
*θνατῶν τε καὶ ἀθανάτων*
*ἄγει δικαιῶν τὸ βιαιότατον*
*ὑπερτάτᾳ χειρί. τεκμαίρομαι*
*ἔργοισιν Ἡρακλέος· ἐπεὶ Γηρυόνα βόας*
*Κυκλωπίων ἐπὶ προθύρων Εὐρυσθέος*
*ἀναιτήτας τε καὶ ἀπριάτας ἤλασεν.*

152 **49.** 200

´ ⏑ – – ´ ⏑ – ´ ⏑ ⏑ – – ´ ⏑ –
⏓ ´ ⏑ . . . . .
*ἄλλο δ᾽ ἄλλοισιν νόμισμα, σφετέραν δ᾽ αἰνεῖ δίκαν ἕκαστος.*

154 **51.** 147

´ ⏑ ⏑ – ⏑ ⏑ ⏓
*Πάντα θύειν ἑκατόν.*

De Lusitanis.

157 **54.** 148

. . ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –

– ⏑́ ⏑ – – ⏑́ ⏑ – – ⏑́ ⏑ –

. . κατὰ μὲν φίλα τέκν' ἔπεφνεν
θάλλοντας ἥβᾳ δυώδεκ', αὐτὸν δὲ τρίτον . . . .

Fortasse de Hercule Neleum et filios occidente.

ed. Bg.[3] 149 **55.** ed. Bö.[1] 158

– ⏑́ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑́ ⏑ –
– ⏑́ ⏑ – – ⏑́ ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ –
⏑́ ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑́ ⏑ ⏑ – ⏑ ⏑ – – ⏑́ ⏑ ⏑̆
⏑́ ⏑ – – ⏑́ ⏑ – ⏑́ ⏑ – – ⏑́ ⏑ –

Οἱ Πηλέος ἀντιθέου μόχθοις νεότας ἐπέλαμψεν μυρίοις;
πρῶτον μὲν Ἀλκμήνας σὺν υἱῷ Τρώϊον ἂμ πεδίον
καὶ μετὰ ζωστῆρας Ἀμαζόνας ἦλθεν, καὶ τὸν Ἰάσονος
εὔδοξον πλόον
ἐκτελέσσαις εἷλε Μήδειαν ἐκ Κόλχων δόμων.

150 **57.** 160

⏑ ⏓ ⏑́ ⏑ – ⏑́ ⏑ – ⏑́ ⏑ ⏑̆

Σύριον εὐρυαίχμαν διεῖπον στρατόν.

De Amazonibus.

154 **61.** 164

⏑̄ ⏑́ ⏑ – ⏑̄ ⏑́ ⏑ – – ⏓ ⏑ ⏑̆
– ⏑́ ⏑ ⏑ – ⏑ – ⏑́ ⏑ – ⏑ ⏑̆

Πεπρωμέναν ἔθηκε μοῖραν μετατραπεῖν
ἀνδροφθόρον· οὐδὲ σιγᾷ κατερρύη.

De Oedipo.

156 **62.** 165

. . . . . . . – ⏑́ ⏑ – ⏑ ⏑̆
– ⏑́ ⏑ – ⏑ – . . . . . . .

. . . . . . . αἴνιγμα παρθένου
ἐξ ἀγριᾶν γνάθων . . . . . . .

De Sphinge.

158 **63.** 166

. . . . . . . – ⏑́ ⏑ – ⏑ –
– ⏑́ ⏑ – ⏑ – . . . . . . .

. . . . . . . δ' οὐδὲν προσαιτέων
ἐφθεγξάμαν ἐπὶ . . . . . . .

Praecedentis fragmenti antistrophum.

ed. Bö.[1] 167 ed. Bg.[2] 155

## 64.

⏑ –́ ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ –

*Τροχὸν μέλος· ταὶ δὲ Χείρωνος ἐντολάς.*

De Achille apud Chironem educato.

168 157

## 65.

– –́ ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ – . . . .

*Ἐν δασκίοισιν πατήρ. νηλεεῖ νόῳ δ᾽ . . . .*

De Peleo Achillis patre; ex eodem, quo prius, carmine.

169 159

## 66.

⏒ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ ⏓

*Νόμων ἀκούοντες θεόδμητον κέλαδον.*

De Cadmo et Harmonia, vel de Peleo et Thetide.

170 160

## 67.

. . . . ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏓
– –́ ⏑ . . . . . . . . . . . . . .

*Ὑφαίνω δ᾽ Ἀμυθαονίδαις ποικίλον*
*ἄνδημα.*

172 et 171 161 et 18

## 68. 69.

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
⏒ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –

172 *Μὴ πρὸς ἅπαντας ἀναρρῖξαι τὸν ἀχρεῖον λόγον·* 161
*ἔσθ᾽ ὅτε πιστοτάτα σιγᾶς ὁδός. κέντρον δὲ μάχας*
171 *ὁ κρατιστεύων λόγος.* | *Ἀλλοτρίοισιν μὴ προφαίνειν τίς φέρεται* 18
*μόχθος ἄμμιν· τοῦτό γέ τοι ἐρέω·*
*καλῶν μὲν ὦν μοῖράν τε τερπνῶν ἐς μέσον χρὴ παντὶ λαῷ*
*δεικνύναι· εἰ δέ τις ἀνθρώποισι θεόσδοτος ἄτα*
*προστύχῃ, ταύταν σκότει κρύπτειν ἔοικεν.*

Fr. 171 ad hymnos pertinet.

ed. Bg.² 161 **70.** ed. Bö.² 173

. . . . . . . . –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏓

*Ὦ τέκνον,*
*ποντίου θηρὸς πετραίου χρωτὶ μάλιστα νόον*
*προσφέρων πάσαις πολίεσσιν ὁμίλει· τῷ παρεόντι δ' ἐπαινήσαις ἑκὼν*
*ἄλλοτ' ἀλλοῖα φρόνει.*

Amphiaraus Amphilocho. Hoc fr. cum antecedente ad hymnos retulit Bg.

162 **71.** 174

[–́ ⏑ ⏑ –] ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –
. . . . *Ὁ γὰρ ἐξ οἴκου ποτὶ μῶμον ἔπαινος κίρναται.*

163 **72.** 175

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – ⏒
*Ὦ πόποι, οἷ' ἀπατᾶται φροντὶς ἐπαμερίων*
*οὐκ ἰδυῖα.*

De Eriphyla Amphiarai uxore.

164 **74.** 177

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏖́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏖́ ⏑ – ⏑ ⏓
*Ὃς Δολόπων ἄγαγε θρασὺν ὅμιλον σφενδονᾶσαι,*
*ἱπποδάμων Δαναῶν βέλεσι πρόσφορον.*

De Phoenice.

165 **76.** 179

*Ὑπερμενὲς ἀκαμαντόχαρμαν Αἶαν.*

166 **81.** 184

⏖́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏒ –́ ⏑ ⏓
*ἔτι δὲ τειχέων ἀνακηκίει καπνός.*

Fortasse de Troia.

167 **82.** 185

– –́ ⏑ – –́ ⏑ ⏑ – – –́ ⏑ – –
⏑́ – –́ ⏑ ⏑ – –

*Αὐτόν με πρώτιστα συνοικιστῆρα γαίας*
*ἔσδεξαι τεμενοῦχον.*

ed. Bö.[1] 186 — 83. — ed. Bg 16

– –́ ⏑ – – –́ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏓

*ἥρωες αἰδοίαν ἐμίγνυντ' ἀμφὶ τράπεζαν θαμά.*

190 — 87. — 16

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒

*Φθέγμα μὲν πάγκοινον ἔγνωκας Πολυμνάστου Κολοφωνίου*
*ἀνδρός.*

196 — 93. — 55

[–́] ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́
– –́ ⏑ –́ ⏑ ⏑ –

*. . Ὅθι παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν*
*κρηπῖδ' ἐλευθερίας.*

De pugna ad Artemisium.

Hoc cum fr. 225 (inc. 122) ad Dithyrambum pertinere Bg. existimat.

197 — 94. — 17

– –́ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏓

*πανδείμαντοι μὲν ὑπὲρ πόντιον Ἕλλας πόρον ἱρόν.*

De Xerxis exercitu.

198 — 95. — 17

– –́ ⏑ – – –́ ⏑ ⏑ – . . . .

*Ἁ Μιδύλου δ' αὐτῷ γενεά . . . .*

199 — 96. — 17

– –́ ⏑ – ⏒ –́ ⏑ – ⏒

*Κεῖ μοί τιν' ἄνδρα τῶν θανόντων.*

De Pythea Aegineta.

200 — 98. — 17

–́ ⏑ – ⏑ – ⏑ – ⏑ –́ ⏑ – ⏑ – –

*Αἰολεὺς ἔβαινε Δωρίαν κέλευθον ὕμνων.*

204 — 101. — 17

. . . . – –́ ⏑ – – –́ ⏑ ⏓
⏑ –́ –́ ⏑ –

*. . . . Δελφοὶ θεμίστων [ὕμνων] μάντιες*
*Ἀπολλωνίδαι.*

205 — 102. — 17

. . . . . . –́ ⏑ ⏑ – ⏑ ⏑ – –

– –́ ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ –

*. . . . . . πενταετηρὶς ἑορτὰ*
*βουπομπός, ἐν ᾇ πρῶτον εὐνάσθην ἀγαπατὸς ὑπὸ σπαρ-*
*γάνοις.*

De Pindaro ipso in Pythiis nato.

ed. Bg.[2] 176

### 103.

ed. Bö.[1] 206

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ –
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – –

*Κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς·*
*εἶα τειχίζωμεν ἤδη ποικίλον*
*κόσμον αὐδάεντα λόγων·*
*ὃς καὶ πολυκλειτάν περ ἐοῖσαν ὅμως Θήβαν ἔτι μᾶλλον*
*ἐπασκήσει θεῶν*
*καὶ κατ' ἀνθρώπων ἀγυιάς.*

177

### 104.

207

*Εὐάρματε χρυσοχίτων, ἱερώτατον ἄγαλμα, Θήβα.*

178

### 106.

209

*Λιπαρᾶν τε Θηβᾶν μέγαν σκόπελον.*

179

### 107.

210

*Ὦ ταλαίπωροι Θῆβαι.*

Fragmentum suspectum Böckhio.

181

### 108.

211

*Μελιγαθὲς ἀμβρόσιον ὕδωρ*
*Τιλφώσσας ἀπὸ καλλικράνου.*

182

### 110.

213

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –

*Ἔνθα βουλαὶ μὲν γερόντων καὶ νέων ἀνδρῶν ἀριστεύοι-*
*σιν αἰχμαί,*
*καὶ χοροὶ καὶ Μοῖσα καὶ Ἀγλαΐα.*

De Sparta.

ed. Bö.[1] ed. Bg.[2]

214 **111.** 183

Οἵ τ' ἀργείλοφον πὰρ Ζεφυρίου κολώναν . . . .

De Locris Epizephyriis.

215 **112.** 184

– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏒ –́ ⏑ – ⏒ –́ ⏑ – – –́ . . . . . .

Αἰγυπτίαν Μένδητα, πὰρ κρημνὸν θαλάσσας,
ἔσχατον Νείλου κέρας, αἰγιβάται
ὅθι τράγοι γυναιξὶ μίσγονται . . . . . .

216 **113.** 185

. . . . . . – – –́ ⏑ – – –́ ⏑ – –
. . . . . . Λευκίππων Μυκηναίων προφᾶται.

217 **114.** 186

– –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ –
–́ ⏑ – –́ ⏑ – –́ ⏑ – ⏖ ⏑ – ⏑ –
⏑ –́ –́ ⏑ ⏑ – ⏖ ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏖ ⏑ –

Ἄνδρες τινὲς ἀκκιζόμενοι Σκύθαι (: chimerical alarm ἀκκώ (as prudery) affect indifference. So proverb ὁ Σκύθης τὸν ἵππον— [illegible] dislike of what they wish.)
νεκρὸν ἵππον στυγέοισιν λόγῳ κτάμενον ἐν φάει·
κρυφᾶ δὲ σκολιοὺς γένυσιν ἀνδέροισιν πόδας ἠδὲ κεφαλάς.

218 **115.** 187

Καὶ λιπαρῷ Σμυρναίῳ ἄστει . . .

Certam ob causam malit *Σμυρναίων* Boeckhius.

220 **118.** 188

– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ . . .

Ἀρχὰ μεγάλας ἀρετᾶς, ὤνασσ' Ἀλάθεια, μὴ πταίσῃς ἐμὰν
σύνθεσιν τραχεῖ ποτὶ ψεύδει . . .

221 **119.** 190

. . . . . . . . . [–́] ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ – – –́ . . . . . . .

. . . . . . . . . . παρὰ Λύδιον ἅρμα
πεζὸς οἰχνεύων . . . . . . .

affect indifference

bent sideways jaw strip the skin off

ed. Bg.[2] **120.** ed. Bö.[1]

191 –́ ⏑ – – –́ ⏑ – –́ ⏑ ⏑ – – –́ ⏑ – [– –́] ⏑ – ⏓ 223

*Ταρτάρου πυθμὴν πιέζει σ' ἀφανοῦς σφυρηλάτοις . . ἀνάγκαις.*

192 **121.** 224

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ –

*Μανίαις τ' ἀλαλαῖς τ' ὀρινόμενοι*
*ῥιψαύχενι σὺν κλόνῳ.*

55 A **122.*** 225

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – – ⏑⏑ ⏑ ⏑⏑ –́ ⏑ ⏑ ⏓

*Κλῦθ', Ἀλαλὰ Πολέμου θύγατερ,*
*ἐγχέων προοίμιον·*
*ἀμφύετ' ἄνδρες τὸν ἱερόθυτον θάνατον.*

Hoc esse initium Dithyrambi in Athenienses Bg. suspicatur. Vide fr. 193 (inc. 96).

193 **124.** 227

[–́] ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –

*Ἀτελῆ σοφίας καρπὸν δρέπειν.*

De physiologis.

86 **125.** 228

⏑ –́ –́ ⏑ – –́ ⏑ – ⏑ – ⏑ –
⏑ –́ –́ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –́ ⏑ –
– ⏑⏑ –́ ⏑ ⏑⏑ ⏑ ⏑⏑ ⏑⏑ ⏑ –
⏑ ⏑ –́ ⏑ – ⏑ – – –́ ⏑ ⏑ –

*Τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθεὶς*
*ἐρευνασάτω μεγαλάνορος Ἀσυχίας τὸ φαιδρὸν φάος,*
*στάσιν ἀπὸ πραπίδος ἐπίκοτον ἀνελών,*
*πενίας δότειραν, ἐχθρὰν κουροτρόφον.*

Hoc fr. ad Hyporchemata pertinet.

194 **126.** 229

*Ἄγαν φιλοτιμίαν μνώμενοι ἐν πόλεσιν ἄνδρες ἢ στάσιν, ἄλγος ἐμφανές.*

ed. Bö.[1] ed. Bg.[2]

230 **127.** 195

⏑ –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑

*Κακόφρονά τ' ἀμφάνῃ πραπίδων*
*καρπόν.*

231 **128.** 196

*Φθόνον κενεοφρόνων ἑταῖρον ἀνδρῶν.*

232 **129.** 197

⏑ ⏑ –́ ⏑ – –́ ⏑ – ⏑ ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓
⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – –
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏓

*Πότερον δίκᾳ τεῖχος ὕψιον*
*ἢ σκολιαῖς ἀπάταις ἀναβαίνει*
*ἐπιχθόνιον γένος ἀνδρῶν,*
*δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν.*

233 **130.** 198

⏑ –́ ⏑ – –́ ⏑ – ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ – ⏒
–́ ⏑ – ⏑ – ⏑ – –́ ⏑ – ⏑ – – –́ ⏑ ⏓

*Γλυκεῖά οἱ καρδίαν ἀτάλλοισα γηροτρόφος συναορεῖ*
*ἐλπίς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ.*

235 **132.** 201

⏓ –́ ⏑ – ⏓ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏓

*Σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος αἴνησαν περισσά.*

236 **133.** 104

– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – ⏓
–́ ⏑ . . . . .

*Εἴη καὶ ἐρᾶν καὶ ἔρωτι χαρίζεσθαι κατὰ καιρόν·*
*μὴ πρεσβυτέραν ἀριθμοῦ δίωκε, θυμέ,*
*πρᾶξιν.*

Pertinere videtur ad Scolia (in Theoxenum).

237 **134.** 202

*Γλυκύ τι κλεπτόμενον μέλημα Κύπριδος.*

239 **136.** 203

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ – –

–́ ◡ ◡ – ◡ ◡ – – –́ ◡ – –
–́ ◡ – – –́ ◡ ◡ – ◡ ◡ – – –́ ◡ – –

* * *

[–́ ◡ ◡ – ◡] ◡ – – –́ ◡ ◡ – ◡ ◡ – – –́ ◡ – –
Ἀνίκ᾽ ἀνθρώπων καματώδεες οἴχονται μέριμναι
στηθέων ἔξω, πελάγει δ᾽ ἐν πολυχρύσοιο πλούτου
πάντες ἴσᾳ νέομεν ψευδῆ πρὸς ἀκτάν·
ος μὲν ἀχρήμων, ἀφνεὸς τότε, τοὶ δ᾽ αὖ πλουτέοντες

* * *

. . . . . ἀέξονται φρένας ἀμπελίνοις τόξοις δαμέντες.

De compotatione.

ed. Bg.[4] 204 ed. Bö.[1] 240

## 137.

. . . – – –́ ◡ – – –́ . . .
Οἱ δ᾽ ἄφνει πεποίθασιν.

205 241

## 138.

. . . . –́ ◡ ◡ – ◡ ◡ – ◡̄
– –́ ◡ – – –́ [◡ –] – –́ ◡ – –
– –́ ◡ – –́ ◡ – ◡̄
. . . . τῶνδε [γὰρ] οὔτε τι μεμπτὸν
οὔτ᾽ ὧν μεταλλακτὸν . . ὅσσ᾽ ἀγλαὰ χθὼν
πόντου τε ῥιπαὶ φέροισιν.

206 242

## 139.

[–́ ◡] ◡ – ◡ ◡ – –́ ◡ – – –́ ◡ – –
– ◡ ◡ – ◡ ◡ – – –́ ◡ – – –́ ◡ ◡ – ◡ ◡ –
–́ ◡ – ◡̄ –́ ◡ ◡ – ◡ ◡ – –́ ◡ ◡ –
–́ ◡ – – –́ . . . . . . .
. . Ἀελλοπόδων μέν τιν᾽ εὐφραίνοισιν ἵππων
τίμια καὶ στέφανοι, τοὺς δ᾽ ἐν πολυχρύσοις θαλάμοις βιοτά·
τέρπεται δὲ καί τις ἐπ᾽ οἶδμ᾽ ἅλιον ναῒ θοᾷ
σῶς διαστείβων . . . . . . . .

207 243

## 140.

. . . – –́ ◡ – ◡̄
–́ ◡ – – –́ ◡ – –́ –
–́ ◡ – –́ ◡ ◡ – ◡ ◡ – – –́ ◡ ◡ –
. . . Διὸς παῖς ὁ χρυσός·

κεῖνον οὐ σὴς οὐδὲ κὶς δάπτει,
δάμναται δὲ βροτέαν φρένα κάρτιστον κτεάνων.

ed. Bö.[1] ed. Bg.[2]

244 **141.** 208

–́ ⏑ – – –́ ⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ . . . –́ ⏑ ⏑ – . . . . .

Καὶ φέρονταί πως ὑπὸ δούλειον τύχαν
αἰχμάλωτοι, καὶ χρῡσέων βελέων
ἐντὶ τραυματίαι . . . . . . . .

246 **143.** 209

⏑ –́ –́ ⏑ ⏑ – ⏕ ⏑ – ⏑ ⏓
⏑ ⏑ –́ –́ . . . .

Ἴσον μὲν θεὸν ἄνδρα τε φίλον [θεῷ]
ὑποτρέσσαι . . . .

247 **144.** 210

. . . ⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ – –
–́ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑

. . . Ὁπόταν θεὸς ἀνδρὶ χάρμα πέμψῃ,
πρὸς μέλαιναν κραδίαν ἐστυφέλιξεν.

248 **145.** 211

Οὔτις ἑκὼν κακὸν εὕρετο.

250 **147.** 212

[–́ ⏑] ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ . . . . .

. . Νέων δὲ μέριμναι σὺν πόνοις εἱλισσόμεναι
δόξαν εὑρίσκοντι· λάμπει δὲ χρόνῳ
ἔργα μετ᾽ αἰθέρα λαμπευθέντα . . . . .

252 **149.** 213

. . . ⏕ ⏑ – ⏑ –
⏕ ⏑ ⏕ –́ ⏑ – ⏕ ⏑ – ⏑ ⏓

. . . Τιθεμένων ἀγώνων
πρόφασις ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον.

253 **150.** 214

– –́ ⏑ – ⏓ –́ ⏑ ⏑ – ⏓ –́ ⏑ – ⏓

–́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏒
*Νικώμενοι γὰρ ἄνδρες ἀγρυξίᾳ δέδενται*
*οὐ φίλων ἐναντίον ἐλθεῖν.*

ed. Bg.[2] 215 **151.** ed. Bö.[1] 254

*ἐπὶ λεπτῷ δενδρέῳ βαίνειν.*

216 **152.** 255

– –́ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏓
⏑ ⏑ –́ ⏑ . . . . . . . . .
*Τόλμα τέ νιν ζαμενὴς καὶ σύνεσις πρόσκοπος*
*ἐσάωσεν.*

217 **153.** 256

– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ . . . . . . . . . . . . .
*Σχήσει τὸ πεπρωμένον οὐ πῦρ, οὐ σιδάρεον*
*τεῖχος.*

218 **154.** 257

*Πιστὸν δ᾽ ἀπίστοις οὐδέν.*

219 **155.** 258

. . . . . . . . . [–́ ⏑] ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ – ⏒ –́ ⏑ – ⏒
⏒ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ [⏑ ⏓]
*Ὑφ᾽ ἅρμασιν ἵππος,*
*ἐν δ᾽ ἀρότρῳ βοῦς· παρὰ ναῦν δ᾽ ἰθύει τάχιστα δελφίς·*
*κάπρῳ δὲ βουλεύοντα φόνον κύνα χρὴ τλάθυμον ἐξευρεῖν . . .*

220 **156.** 259

[–́ ⏑ ⏑ –] ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ [– ⏓]
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ ⏓
– –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ [–] . . . . .
*. . . . ἁλίου δελφῖνος ὑπόκρισιν . .*
*τὸν μὲν ἀκύμονος ἐν πόντου πελάγει*
*αὐλῶν ἐκίνησ᾽ ἐρατὸν μέλος.*

221 **157.** 260

⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –

*φιλάνορα δ' οὐκ ἔλιπον βιοτάν.*

De delphinis.

ed. Bö.[1] 261 — 158. — ed. Bg.[2] 222

– –́ ⏑ ⏑ – –́ ⏑ – –
⏓ –́ ⏑ – – –́ ⏑ –

*Ὄπισθε δὲ κεῖμαι θρασειᾶν*
*ἀλωπέκων ξανθὸς λέων.*

262 — 159. — 223

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
⏑ –́ –́ [–] . . . .

*Ἔνθα καὶ ποῖμναι κτιλεύονται κάπρων*
*λεόντων τε.*

265 — 162. — 224

*Ἰάχει βαρυφθεγκτᾶν ἀγέλαι λεόντων.*

266 — 163. — 129

. . . . ⏓ –́ ⏑ – – –́ ⏑ –
⏓ –́ ⏑ ⏑ – ⏑ ⏑ – – . . . .

. . . . *Μελισσοτεύκτων κηρίων*
*ἐμὰ γλυκερώτερος ὀμφά.*

269 — 166. — 225

*Μὴ σιγᾷ βρεχέσθω.*

278 — 175. — 304

–́ ⏑ ⏑ – ⏑ ⏑ – –

*Ξεινοδόκησέ τε δαίμων.*

280 — 177. — 226

*Ποτίκολλον ἅτε ξύλον εὔλῳ.*

285 — 182. — 321

*Ὑψικέρατα πέτραν.*

286 — 183*. — 230

⏑ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –

*Μελιρρόθων δ' [ἀνθέων] ἕπεται πλόκαμοι.*

numeri Bö. continuati [291] — [188.] — 223

. . . . . – –́ ⏑ –

–́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ [– ⏒]

φὰν δ' ἔμμεναι
*Ζηνὸς υἱοὶ καὶ κλυτοπώλου Ποσειδάωνος.*

De Pirithoo et Theseo.

ed. Bg.[3] 70 [Prosod. fr. 5] ed. Bö.[1] [292]

*Μεμναίατ' ἀοιδᾶς.*

116 [Thren. fr. 10] [293]

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ [⏑ –] – –́ ⏑ ⏑ – ⏑ [⏑ –] – –́ ⏑ ⏑ – ⏑ [⏑ –] ⏑ ⏑ ⏓
–́ ⏑ [– – –́ ⏑ ⏑] – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ [⏑ ⏑ –]
[–́ ⏑ – ⏑] –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ [⏑] – ⏑ –́ ⏑ ⏑ – ⏑ – [– –́ ⏑ –]
[–́ –] – – [–́] ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏑ ⏓

*Ἔντι μὲν χρυσαλακάτου τεκέων Λατοῦς ἀοιδαὶ*
*ὥ[ριαι] παιανίδες· ἔττι [δ' ἐπαντ]έλλοντος ἐκ[ε]ῖ συ[άρου] στέφανον*
*ἐκ Διὸ[ς παίδων μετα]μαιόμεναι· τὸ δὲ κοίμισαν τ[ετό]ρ[ων]*
*[κᾶδος ἀμφὶ] σώματ' ἀποφθιμένων.*
*ἁ μὲν ἀχέταν Λίνον αἴλινον ὕμνεῖ,*
*ἁ δ' Ὑμέναιον[, ὃν] ἐν γάμοισι χροϊζόμενον [νύμφας λέχει]*
*[μοῖρα] πάμπρωτ[ον] λάβεν,*
*ἐσχάτοις ὕμνοισιν· ἁ δ' Ἰάλεμον ἰοβόλῳ νούσῳ πεδαθέντα σθένος,*
*υἱὸν Οἰάγρου [τε] χρυσάορ' Ὀρφέα.*

idem aliter:

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ [⏑ –] – –́ ⏑ ⏑ – ⏑ [⏑ –] – –́ ⏑ – [– –́] ⏑ ⏑ ⏓
–́ ⏑ [– – –́ ⏑ ⏑] – ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ [⏑ – – –́ ⏑ ⏓]
[–́ ⏑ – –] –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – – cett.

Ἔντι μὲν χρυσαλακάτου τεκέων Λατοῦς ἀοιδαὶ
ὥ[ριαι] παιανίδες· ἔντι [δ' ἐπαντ]έλλοντος αἱ κίσσου στέ-
φανον
ἐκ Διω[νύσου μετα]μαιόμεναι· τὸ δὲ κοιμίσαν τρ[ίτον
Μοῖσαι μέλος]
[δεῖξαν υἱῶν] σώματ' ἀποφθιμένων,
ἁ μὲν ἀχέταν Λίνον αἴλινον ὑμνεῖν,
ἁ δ' . . . . .

ed. Bö.[1] [294] [inc. 189] ed. Bg.[4] 139

. . . – – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓

Πίτναντες θοὰν
κλίμακ' ἐς οὐρανὸν αἰπύν.
De Oto et Ephialte.

[295] [inc. 190]* 180

. . . – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ –
– –́ . . .

Οὔτοί με ξένον
οὐδ' ἀδαήμονα Μοισᾶν ἐπαίδευσαν κλυταὶ
Θῆβαι.

[296] [inc. 191] 189

οὐ ψεῦδος ἐρίξω.

[297] [inc. 192] 199

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –

Ἐλπίσιν ἀθανάταις ἁρμῷ φέρονται.

[298] [inc. 193] 227

– –́ ⏑ ⏑ – ⏑ ⏑ –

Ἁ μὲν πόλις Αἰακιδᾶν.

[299] [inc. 194] 229

Πρόφασις βληχροῦ γίνεται νείκεος.

ed. Bg.[2] [inc. 195] ed. Bö.[1]

263 ἀμεύσεσθαι Νάξιον Τίσανδρον. [300]

290 [inc. 196] [301]

ἱππείοις ἔντεσι μεταΐσσων . . .

Berolini apud Weidmannos (I. Reimer)

typis Caroli Schultze

PA
4274
A2
1866

Pindarus
Carmina

PLEASE DO NOT REMOVE
CARDS OR SLIPS FROM THIS POCKET

UNIVERSITY OF TORONTO LIBRARY